TUSCULUM-BÜCHEREI
Herausgeber: Hans Färber und Max Faltner

PROKOP: WERKE

PROKOP
PERSERKRIEGE

Griechisch-deutsch ed. Otto Veh

ERNST HEIMERAN VERLAG IN MÜNCHEN

Auf dem Titel: Drachme des Sassanidenkönigs Chosroes I., 531/579
(Münzstätte „RD")
Aufnahme W. Kisskalt, Staatliche Münzsammlung München

Die Übersetzung der Perserkriege ist in Zusammenarbeit
mit meinem Bruder Albert Veh, Bayreuth, entstanden.

1. Auflage 1970. Archiv 306 ISBN 3 7765 2099 X
Druck: Georg Appl, Wemding – Binden: Hans Klotz, Augsburg
Gedruckt auf Dünndruck Persia Qualität von Schoeller & Hoesch, Gernsbach

Inhalt

Seite

Text und Übersetzung 6

Anhang

Einführung 439

Erläuterungen 456

Malalas 506

Auszüge aus Malalas 508

Anmerkungen zu Malalas 556

Literaturhinweise 567

Zur Textgestaltung 575

Verzeichnis der Eigennamen 578

Προκόπιος Καισαρεὺς τοὺς πολέμους ξυνέγραψεν, οὓς 1
Ἰουστινιανὸς ὁ Ῥωμαίων βασιλεὺς πρὸς βαρβάρους διή-
νεγκε τούς τε ἑῴους καὶ ἑσπερίους, ὡς πῃ αὐτῶν ἑκάστῳ
ξυνηνέχθη γενέσθαι, ὡς μὴ ἔργα ὑπερμεγέθη ὁ μέγας αἰὼν
λόγου ἔρημα χειρωσάμενος τῇ τε λήθῃ αὐτὰ καταπρόηται
καὶ παντάπασιν ἐξίτηλα θῆται, ὥνπερ τὴν μνήμην αὐτὸς
ᾤετο μέγα τι ἔσεσθαι καὶ ξυνοῖσον ἐς τὰ μάλιστα τοῖς τε
νῦν οὖσι καὶ τοῖς ἐς τὸ ἔπειτα γενησομένοις, εἴ ποτε καὶ
αὖθις ὁ χρόνος ἐς ὁμοίαν τινὰ τοὺς ἀνθρώπους ἀνάγκην
διάθοιτο. τοῖς τε γὰρ πολεμησείουσι καὶ ἄλλως ἀγωνιου- 2
μένοις ὄνησίν τινα ἐκπορίζεσθαι οἷα τέ ἐστιν ἡ τῆς ἐμφε-
ροῦς ἱστορίας ἐπίδειξις, ἀποκαλύπτουσα μὲν ὅποι ποτὲ
τοῖς προγεγενημένοις τὰ τῆς ὁμοίας ἀγωνίας ἐχώρησεν,
αἰνισσομένη δὲ ὁποίαν τινὰ τελευτὴν τοῖς γε ὡς ἄριστα
βουλευομένοις τὰ παρόντα, ὡς τὸ εἰκός, ἕξει.

Καί οἱ αὐτῷ ξυνηπίστατο πάντων μάλιστα δυνατὸς ὢν 3
τάδε ξυγγράψαι κατ' ἄλλο μὲν οὐδέν, ὅτι δὲ αὐτῷ ξυμ-
βούλῳ ᾐρημένῳ Βελισαρίῳ τῷ στρατηγῷ σχεδόν τι ἅπασι
παραγενέσθαι τοῖς πεπραγμένοις ξυνέπεσε. πρέπειν τε 4
ἡγεῖτο ῥητορικῇ μὲν δεινότητα, ποιητικῇ δὲ μυθοποιΐαν,
ξυγγραφῇ δὲ ἀλήθειαν. ταῦτά τοι οὐδέ του τῶν οἱ ἐς ἄγαν 5
ἐπιτηδείων τὰ μοχθηρὰ ἀπεκρύψατο, ἀλλὰ τὰ πᾶσι ξυνε-
νεχθέντα ἕκαστα ἀκριβολογούμενος ξυνεγράψατο, εἴτε εὖ
εἴτε πῃ ἄλλῃ αὐτοῖς εἰργάσθαι ξυνέβη. κρεῖσσον δὲ 6
οὐδὲν ἢ ἰσχυρότερον τῶν ἐν τοῖσδε τοῖς πολέμοις τετυχη-
κότων τῷ γε ὡς ἀληθῶς τεκμηριοῦσθαι βουλομένῳ
φανήσεται.

BUCH I

1. Prokop unterrichtet den Leser über Inhalt, Zweck und Bedeutung seiner kriegsgeschichtlichen Werke und verteidigt ihren Inhalt gegen „Lobredner der Vergangenheit"

Prokop von Caesarea hat die Kriege, die der römische Kaiser Justinian in Ost und West führte, nach ihrem jeweiligen Verlauf geschildert; denn überragende Taten sollen doch nicht, der Darstellung entbehrend, durch die Länge der Zeit unterdrückt und der Vergessenheit preisgegeben und dadurch gänzlich ausgelöscht werden, Taten, deren Fortleben nach Ansicht des Verfassers etwas Großes bedeutet und den Zeitgenossen wie den künftigen Geschlechtern außerordentlichen Nutzen bringt, sofern die Menschheit wieder einmal durch die Zeit einer ähnlichen Zwangslage gegenüber gestellt werden sollte. Kann doch die Schilderung eines ähnlichen Geschichtsverlaufes denen, die einen Krieg führen oder sonstwie einen Kampf ausfechten wollen, von beträchtlichem Vorteil sein. Denn jeder sieht daraus, wie für die Menschen von einst ein gleichgearteter Streit endete, und empfängt außerdem einen Hinweis, welchem Ziele etwa die augenblicklichen Verhältnisse, wenn man sie aufs genaueste überdenkt, vermutlich zusteuern werden.

Ferner war sich der Verfasser bewußt, für den folgenden Bericht die allerbesten Voraussetzungen mitzubringen, und zwar gerade aus dem Grunde, weil er zum juristischen Beirat bestellt, zusammen mit dem Feldherrn Belisar an fast allen Ereignissen persönlich teilnahm. Er vertrat dabei die Auffassung, daß für Redekunst kraftvolle Sprache, für Dichtkunst Erfindungsgabe, für Geschichtsschreibung aber Wahrheit angemessen sei. So hat er selbst bei nächsten Freunden keine Missetaten verschwiegen, sondern sorgfältig ihre sämtlichen Einzelschicksale aufgezeichnet, mochte ihr Handeln gut oder andersgeartet gewesen sein. Nichts aber wird einem Manne, der ein wahrheitsgetreues Urteil fällen will, sich großartiger und gewaltiger als das Geschehen dieser Kriege darstellen.

Πέπρακται γὰρ ἐν τούτοις μάλιστα πάντων ὧν ἀκοῇ 7
ἴσμεν θαυμαστὰ οἷα, ἢν μή τις τῶν τάδε ἀναλεγομένων
τῷ παλαιῷ χρόνῳ τὰ πρεσβεῖα διδοίη καὶ τὰ καθ' αὑτὸν
οὐκ ἀξιοίη θαυμαστὰ οἴεσθαι. ὥσπερ οὖν ἀμέλει τοὺς μὲν 8
νῦν στρατευομένους ἔνιοι καλοῦσι τοξότας, ἀγχεμάχους δὲ
καὶ ἀσπιδιώτας καὶ τοιαῦτα ἄττα ὀνόματα τοῖς παλαιο-
τάτοις ἐθέλουσι νέμειν, ταύτην τε τὴν ἀρετὴν ἐς τοῦτον
ἐληλυθέναι τὸν χρόνον ἥκιστα οἴονται, ἀταλαίπωρόν γε καὶ
τῆς πείρας ἀπωτάτω τὴν περὶ αὐτῶν ποιούμενοι δόξαν. οὐ 9
γάρ τις πώποτε αὐτοῖς ἔννοια γέγονεν ὅτι δὴ τοῖς μὲν παρ'
Ὁμήρῳ τοξεύουσιν, οἵσπερ καὶ ὑβρίζεσθαι ἀπὸ τῆς τέχνης
ὀνομαζομένοις ξυνέβαινεν, οὐχ ἵππος ὑπῆν, οὐ δόρυ, οὐκ
ἀσπὶς ἤμυνεν, οὐκ ἄλλο οὐδὲν τοῦ σώματος φυλακτήριον
ἦν, ἀλλὰ πεζοὶ μὲν ἐς μάχην ἦσαν, ἀποκεκρύφθαι δὲ αὐ-
τοῖς ἦν ἀναγκαῖον, ἑταίρου του ἐκλεγομένοις ἀσπίδα ἢ
στήλῃ ἐπὶ τύμβῳ τινὶ κεκλιμένοις, ἔνθα οὔτε τρεπόμενοι 10
διασώζεσθαι οὔτε φεύγουσι τοῖς πολεμίοις ἐπιτίθεσθαι
οἷοί τε ἦσαν, οὐ μὴν οὐδὲ ἀπὸ τοῦ ἐμφανοῦς διαμάχεσθαι,
ἀλλά τι κλέπτειν ἐδόκουν ἀεὶ τῶν ἐν τῇ ξυμβολῇ γινομέ-
νων. ἄνευ δὲ τούτων οὕτως ἀταλαιπώρως ἐχρῶντο τῇ τέχ- 11
νῃ, ὥστε πελάσαντες τῷ σφετέρῳ μαζῷ τὴν νευρὰν εἶτα
τὸ βέλος ἀφίεσαν κωφόν τε καὶ οὐτιδανὸν εἰκότως τοῖς
δεχομένοις ἐσόμενον. τοιαύτη μέν τις οὖσα ἡ τοξεία φαί-
νεται πρότερον. οἱ δέ γε τανῦν τοξόται ἴασι μὲν ἐς μάχην 12
τεθωρακισμένοι τε καὶ κνημῖδας ἐναρμοσάμενοι μέχρι ἐς
γόνυ. ἤρτηται δὲ αὐτοῖς ἀπὸ μὲν τῆς δεξιᾶς πλευρᾶς τὰ βέλη,
ἀπὸ δὲ τῆς ἑτέρας τὸ ξίφος. εἰσὶ δὲ οἷς καὶ δόρυ προσαπο- 13
κρέμαται καὶ βραχεῖά τις ἐπὶ τῶν ὤμων ἀσπὶς ὀχάνου
χωρίς, οἷα τά τε ἀμφὶ τὸ πρόσωπον καὶ ⟨τὸν⟩ αὐχένα ἐπι-
καλύπτειν. ἱππεύονται δὲ ὡς ἄριστα καὶ θέοντος αὐτοῖς 14
ὡς τάχιστα τοῦ ἵππου τὰ τόξα τε οὐ χαλεπῶς ἐντείνειν
οἷοί τέ εἰσιν ἐφ' ἑκάτερα καὶ διώκοντάς τε βάλλειν τοὺς
πολεμίους καὶ φεύγοντας. ἕλκεται δὲ αὐτοῖς κατὰ τὸ μέ- 15
τωπον ἡ νευρὰ παρ' αὐτὸ μάλιστα τῶν ὤτων τὸ δεξιόν,

Das Allererstaunlichste nämlich, das wir je vernahmen, hat sich dabei zugetragen, es sei denn, ein Leser dieser Zeilen gäbe der alten Zeit den Vorzug und brächte für die Gegenwart keine Bewunderung auf. Wie ja tatsächlich einige Leute von den heutigen Kriegern nur als Bogenschützen reden, den Männern der grauen Vorzeit jedoch die Bezeichnung Nahkämpfer, Schildträger und dergleichen beizulegen bereit sind; denn Tüchtigkeit dieser Art ist ihrer Meinung nach ganz und gar nicht auf unsere Zeit gekommen, eine oberflächliche Ansicht, die sie sich ohne jede Sachkenntnis von den Dingen bilden. Niemals ist ja solchen Menschen bewußt geworden, daß die Bogenschützen bei Homer, denen die Bezeichnung nach dieser ihrer Fertigkeit sogar Unehre brachte, doch unberitten waren, weder Schild noch Lanze zu ihrer Verteidigung hatten und auch sonst über keinen Körperschutz verfügten. Zu Fuß mußten sie vielmehr in den Kampf ziehen und notgedrungen Deckung suchen, indem sie den Schild irgend eines Kameraden auswählten oder sich auf eine Grabstele stützten, von wo aus sie sich dann weder durch Flucht retten noch die weichenden Feinde angreifen konnten. Man gewann daher den Eindruck, daß sie nicht einmal einen offenen Waffengang wagten, sondern immer nur heimlich am Kampfgeschehen teilnahmen. Außerdem wandten die Bogenschützen ihre Kunst derart mangelhaft an, daß sie die Sehne nur zur Brust hin spannten und daher ihr Geschoß ohne Kraft und Wirkung auf die Feinde entsandten. So war es offensichtlich in früherer Zeit um das Bogenschießen bestellt. Die heutigen Bogenschützen hingegen ziehen in den Kampf, gepanzert und mit Beinschienen bis zum Knie, und auf der rechten Seite tragen sie ihre Pfeile, auf der linken das Schwert. Bei einigen hängt noch ein Speer herab, während auf den Schultern ein kurzer, trägerloser Schild ruht, der Gesicht und Nacken decken soll. Sie können ausgezeichnet reiten, und selbst wenn das Pferd in vollem Galopp dahinsprengt, vermögen sie mühelos die Bogen nach beiden Seiten hin zu spannen und sowohl auf verfolgende wie auf fliehende Feinde zu schießen. Die Sehne ziehen sie dabei in Stirnhöhe bis dicht ans rechte Ohr heran und geben dem Geschoß eine Durch-

τοσαύτης ἀλκῆς ἐμπιπλᾶσα τὸ βέλος, ὥστε τὸν ἀεὶ παραπίπτοντα κτείνειν, οὔτε ἀσπίδος ἴσως οὔτε θώρακος ἀποκρούεσθαί τι δυναμένου τῆς ῥύμης. εἰσὶ δὲ οἱ τούτων 16
ἥκιστα ἐνθυμούμενοι σέβονται μὲν καὶ τεθήπασι τὸν παλαιὸν χρόνον, οὐδὲν δὲ ταῖς ἐπιτεχνήσεσι διδόασι πλέον. ἀλλὰ τούτων οὐδὲν κωλύσει μὴ οὐχὶ μέγιστά τε καὶ 17
ἀξιολογώτατα ἐν τοῖσδε τοῖς πολέμοις ξυμβῆναι. λελέξεται δὲ πρῶτον ἀρξαμένοις μικρὸν ἄνωθεν ὅσα Ῥωμαίοις ξυνηνέχθη καὶ Μήδοις πολεμοῦσι παθεῖν τε καὶ δρᾶσαι.

Ἡνίκα τὸν βίον Ἀρκάδιος ὁ Ῥωμαίων βασιλεὺς ἐν **2**
Βυζαντίῳ τελευτᾶν ἤμελλεν (ἦν γάρ οἱ παῖς Θεοδόσιος οὔπω τοῦ τιτθοῦ ἀπαλλαγείς), διηπορεῖτο ἀμφί τε τῷ παιδὶ καὶ τῇ βασιλείᾳ, εὖ θέσθαι ἄμφω ὡς ἥκιστα ἔχων. ἐγίνετο γάρ τις αὐτῷ ἔννοια, ὡς, ἢν μὲν κοινωνόν τινα 2
Θεοδοσίῳ τῆς ἡγεμονίας πορίζηται, αὐτὸς ἂν τὸν παῖδα τὸν αὑτοῦ διαχρησάμενος τῷ ἔργῳ εἴη, πολέμιον αὐτῷ δύναμιν τὴν βασίλειον περιβεβλημένον ἐπαγαγών, ἢν δὲ 3
μόνον αὐτὸν ἐπὶ τῆς ἀρχῆς καταστήσηται, πολλοὶ μὲν τῆς βασιλείας ἐπιβατεύσουσι, τῆς τοῦ παιδὸς ἐρημίας, ὡς τὸ εἰκός, ἀπολαύοντες, ἐπαναστάντες δὲ πόνῳ οὐδενὶ τυραννήσουσι, τὸν Θεοδόσιον διαφθείραντες, ἐπεὶ οὐδένα ἐν Βυζαντίῳ ξυγγενῆ εἶχεν, ὅστις ἂν αὐτῷ ἐπίτροπος 4
εἴη. Ὀνώριον γάρ οἱ τὸν θεῖον ἐπαρκέσειν οὐδαμῇ ἤλπισε, πονηρῶν ἤδη τῶν Ἰταλίας πραγμάτων ὄντων. οὐδὲν δὲ 5
ἧσσον καὶ τὰ ἐκ Μήδων αὐτὸν ξυνετάρασσε, δεδιότα μὴ οἱ βάρβαροι οὗτοι τῆς τοῦ αὐτοκράτορος καταθέοντες ἡλικίας ἀνηκεστα ἔργα Ῥωμαίους δράσωσιν.

Ἐς ταύτην Ἀρκάδιος τὴν ἀμηχανίαν ἐμπεπτωκώς, 6
καίπερ οὐ γεγονὼς εἰς τὰ ἄλλα ἀγχίνους, βουλεύεται βουλήν, ἥτις οἱ τόν τε παῖδα καὶ τὴν ἀρχὴν διασώσασ-

schlagskraft, daß es jeden, der in den Weg kommt, tötet und weder Panzer noch Schild vielleicht etwas die Wucht mildern kann. Trotzdem gibt es Leute, die das für bedeutungslos halten und nur die alte Zeit verehren und bewundern, den Verbesserungen aber keinen Vorzug einräumen. Doch nichts wird an der Tatsache ändern, daß sich in diesen Kriegen gewaltige, hochbedeutsame Ereignisse zugetragen haben. So wollen wir all das, was Römer und Perser im Kriege litten und leisteten, zur Darstellung bringen und dabei zunächst etwas zurückgreifen.

2. Mit dem Tode des Kaisers Arkadios († 408) beginnt eine Zeit friedlicher Beziehungen zwischen Byzanz und Persien

Als der römische Kaiser Arkadios in Byzanz auf dem Totenbette lag, da bangte er um Sohn und Reich (sein Sohn Theodosios war ja noch nicht der Brust entwöhnt) und fühlte sich außerstande, für beide eine gute Regelung zu treffen. Denn es mußte ihm doch irgendwie der Gedanke kommen, daß er selbst, wenn er dem Theodosios einen Mitregenten gebe, in der Tat zum Mörder seines Kindes werde; mit Verleihung der Kaiserwürde schaffe er ihm ja einen Feind. Bestelle er aber seinen Sohn zum Alleinherrscher, würden sich natürlich viele dessen Verlassenheit zunutze machen, nach dem Throne streben und als Empörer mühelos an die Macht kommen. Theodosios aber werde ihnen zum Opfer fallen, da er in Byzanz keinen Verwandten besitze, der die Vormundschaft übernehmen könne. Denn daß sein Onkel Honorios ihm helfen werde, durfte Arkadios angesichts der bereits zerrütteten Verhältnisse in Italien keineswegs erwarten. Ebenso beunruhigte den Kaiser auch die von Persien her drohende Gefahr. Er mußte fürchten, diese Barbaren möchten die Jugend des Herrschers zum Ziel ihrer Angriffe machen und den Römern heillosen Schaden zufügen.

In seiner Bedrängnis faßte Arkadios, sonst kein findiger Kopf, einen Entschluß, der ihm Sohn und Reich mühelos zu retten vermochte. Ob er sich dabei des Rates einiger kennt-

θαι εὐπετῶς ἴσχυσεν, εἴτε κοινολογησάμενος τῶν λογίων τισίν, οἷοι πολλοὶ βασιλεῖ παρεδρεύειν εἰώθασιν, ἢ θείας τινὸς ἐπιπνοίας αὐτῷ γενομένης. διαθήκης γὰρ διαθεὶς 7
γράμματα, διάδοχον μὲν τῆς ἡγεμονίας ἀνεῖπε τὸν παῖδα, ἐπίτροπον δὲ αὐτῷ κατεστήσατο Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα, ᾧ δὴ πολλὰ ἐν ταῖς διαθήκαις ἐπέσκηψε Θεοδοσίῳ τὴν βασιλείαν σθένει τε καὶ προνοίᾳ πάσῃ ξυνδιασώσασ- 8
θαι. Ἀρκάδιος μὲν ὧδε τήν τε ἀρχὴν καὶ τὰ οἰκεῖα διοικησάμενος ἐτελεύτησεν· Ἰσδιγέρδης δὲ ὁ Περσῶν βασιλεύς, ἐπεὶ τὸ γράμμα τοῦτο ἀπενεχθὲν εἶδεν, ὧν καὶ πρότερον ἐπὶ τρόπου μεγαλοφροσύνῃ διαβόητος ἐς τὰ μάλιστα, ἀρετὴν ἐπεδείξατο θαύματός τε πολλοῦ καὶ λόγου ἀξίαν. τὰς γὰρ Ἀρκαδίου ἐντολὰς ἐν ἀλογίᾳ οὐδεμιᾷ ποιησάμενος 9
εἰρήνῃ τε ἀφθόνῳ χρώμενος διαγέγονεν ἐς Ῥωμαίους τὸν πάντα χρόνον καὶ Θεοδοσίῳ τὴν ἀρχὴν διεσώσατο. αὐτίκα 10
γοῦν πρὸς Ῥωμαίων τὴν βουλὴν γράμματα ἔγραψεν, ἐπίτροπός τε οὐκ ἀπαρνούμενος Θεοδοσίου βασιλέως εἶναι καὶ πόλεμον ἐπανατεινόμενος, ἤν τις αὐτῷ ἐς ἐπιβουλὴν ἐγχειροίη καθίστασθαι.

Ἐπεὶ δὲ Θεοδόσιος μὲν ἀνήρ τε ἐγεγόνει καὶ ἡλικίας 11
πόρρω ἀφῖκτο, Ἰσδιγέρδης δὲ νοσήσας ἐξ ἀνθρώπων ἠφάνιστο, ἐπῆλθε μὲν ἐς Ῥωμαίων τὴν γῆν Οὐαραράνης ὁ Περσῶν βασιλεὺς στρατῷ μεγάλῳ, ἔδρασε δὲ οὐδὲν ἄχαρι, ἀλλ' ἄπρακτος ἐπανῆλθεν εἰς τὰ οἰκεῖα τρόπῳ τοιῷδε. Ἀνατόλιον τὸν τῆς ἕω στρατηγὸν Θεοδόσιος 12
βασιλεὺς πρεσβευτὴν ἐς Πέρσας μόνον αὐτὸν ἐτύγχανε πέμψας· ὃς ἐπειδὴ ἄγχιστα ἐγεγόνει τοῦ Μήδων στρατοῦ, ἀποθρώσκει μὲν τοῦ ἵππου μόνος, πεζῇ δὲ βαδίζων ἐπὶ Οὐαραράνην ᾔει. καὶ αὐτὸν Οὐαραράνης ἰδὼν τῶν παρόν- 13
των ἀνεπυνθάνετο ὅστις ποτὲ ὁ προσιὼν εἴη. οἱ δὲ τῶν Ῥωμαίων εἶναι στρατηγὸν ἔφασαν. καταπλαγεὶς οὖν τῷ 14
ὑπερβάλλοντι τῆς τιμῆς ὁ βασιλεὺς αὐτὸς στρέψας τὸν ἵππον ὀπίσω ἀπήλαυνε, καί οἱ ἅπας ὁ τῶν Περσῶν λεὼς εἵπετο. γενόμενος δὲ ἐν γῇ τῇ οἰκείᾳ τόν τε πρεσβευτὴν 15

nisreicher Männer, wie sie ja in großer Zahl dem Kaiser gewöhnlich zur Verfügung stehen, bediente oder einer göttlichen Eingebung folgte, will ich dahingestellt sein lassen. Er bestimmte nämlich bei Abfassung des Testamentes seinen Sohn als Regierungsnachfolger, zu seinem Vormund aber den Perserkönig Isdigerdis. Diesem legte er in seinem letzten Willen wiederholt ans Herz, er solle mit aller Kraft und Fürsorge gemeinsam mit Theodosios das Kaisertum durch die Fährnisse führen. Nachdem Arkadios sein Reich und Haus so bestellt hatte, schied er aus dem Leben. Der Perserkönig Isdigerdis aber – schon vorher wegen seiner großherzigen Sinnesart hochberühmt – bewies, sobald er das Schreiben zu Gesicht bekam, einen Edelmut, der volle Bewunderung und Anerkennung verdient: Er schenkte dem Ersuchen des Arkadios seine ganze Aufmerksamkeit, hielt jederzeit unbeschränkten Frieden mit den Römern und sicherte dem Theodosios die Herrschaft. Jedenfalls ließ er sofort an den römischen Senat ein Schreiben ergehen, worin er sich zur Annahme der Vormundschaft über Kaiser Theodosios bereit erklärte und jeden mit Krieg bedrohte, der ihn anzugreifen wage.

Als dann Theodosios zum Manne herangereift und zu Jahren gekommen, Isdigerdis aber an einer Krankheit gestorben war, brach der Perserkönig mit starker Heeresmacht ins Römerreich ein, tat jedoch keinen Schaden, sondern kehrte, ohne etwas unternommen zu haben, in sein Land zurück. Das kam so: Kaiser Theodosios schickte Anatolios, den magister militum per orientem (Oberbefehlshaber im Osten) ohne alle Begleitung als Gesandten zu den Persern. Sobald er in die unmittelbare Nähe ihres Heeres gekommen war, stieg er allein vom Pferd und begab sich zu Fuß zu Vararanes. Der König sah ihn und fragte seine Begleitung, wer denn der Mann sei, der sich da nähere. Es sei der römische magister militum, lautete die Antwort. Durch die außerordentliche Ehrung fühlte sich der König so überrascht, daß er sein Pferd wandte und zurückritt, worauf ihm das ganze Perserheer folgte. Als Vararanes wieder in seinem eigenen Lande war, empfing er den Gesandten auf huldvollste und kam dem Friedensgesuch des

ξὺν φιλοφροσύνῃ πολλῇ εἶδε καὶ τὴν εἰρήνην ξυνεχώρησεν οὕτως, ὥσπερ Ἀνατόλιος αὐτοῦ ἔχρῃζεν, ἐφ' ᾧ μέντοι μηδέτεροι ἐν χωρίῳ οἰκείῳ ἐν γειτόνων τοῖς τῶν ἑτέρων ὁρίοις ὄντι ὀχύρωμα νεώτερόν τι ἐργάζονται. οὗ δὴ αὐτοῖς ἐξειργασμένου ἑκάτεροι τὰ οἰκεῖα ὅπη ἐβούλοντο ἔπρασσον.

Χρόνῳ δὲ ὕστερον Περόζης ὁ Περσῶν βασιλεὺς πρὸς τὸ Οὔννων τῶν Ἐφθαλιτῶν ἔθνος, οὕσπερ λευκοὺς ὀνομάζουσι, πόλεμον περὶ γῆς ὁρίων διέφερε, λόγου τε ἄξιον στρατὸν ἀγείρας ἐπ' αὐτοὺς ἦει. Ἐφθαλῖται δὲ Οὐννικὸν μὲν ἔθνος εἰσί τε καὶ ὀνομάζονται, οὐ μέντοι ἀναμίγνυνται ἢ ἐπιχωριάζουσιν Οὔννων τισὶν ὧν ἡμεῖς ἴσμεν, ἐπεὶ οὔτε χώραν αὐτοῖς ὅμορον ἔχουσιν οὔτε πη αὐτῶν ἄγχιστα ᾤκηνται, ἀλλὰ προσοικοῦσι μὲν Πέρσαις πρὸς βορρᾶν ἄνεμον, οὗ δὴ πόλις Γοργὼ ὄνομα πρὸς αὐταῖς που ταῖς Περσῶν ἐσχατιαῖς ἐστιν, ἐνταῦθα δὲ περὶ γῆς ὁρίων διαμάχεσθαι πρὸς ἀλλήλους εἰώθασιν. οὐ γὰρ νομάδες εἰσὶν τὰ ὥσπερ τὰ ἄλλα Οὐννικὰ ἔθνη, ἀλλ' ἐπὶ χώρας ἀγαθῆς τινος ἐκ παλαιοῦ ἵδρυνται. ταῦτά τοι οὐδέ τινα ἐσβολὴν ποιήνηται πώποτε ἐς Ῥωμαίων τὴν γῆν, ὅτι μὴ ξὺν τῷ Μήδων στρατῷ. μόνοι δὲ Οὔννων οὗτοι λευκοί τε τὰ σώματα καὶ οὐκ ἄμορφοι τὰς ὄψεις εἰσίν. οὐ μὴν οὔτε τὴν δίαιταν ὁμοιότροπον αὐτοῖς ἔχουσιν οὔτε θηρίου βίον τινὰ ἧπερ ἐκεῖνοι ζῶσιν, ἀλλὰ καὶ πρὸς βασιλέως ἑνὸς ἄρχονται καὶ πολιτείαν ἔννομον ἔχοντες ἀλλήλοις τε καὶ τοῖς πέλας ἀεὶ ὀρθῶς καὶ δικαίως ξυμβάλλουσι, Ῥωμαίων τε καὶ Περσῶν οὐδέν τι ἧσσον. οἱ μέντοι εὐδαίμονες αὐτοῖς αὐτοῖς φίλους ἑταιρίζονται ἄχρι ἐς εἴκοσιν, ἂν οὕτω τύχοι, ἢ τούτων πλείους, οἵπερ αὐτοῖς ξυμπόται μὲν ἐς ἀεὶ γίνονται, τῶν δὲ χρημάτων μετέχουσι πάντων, κοινῆς τινος ἐξουσίας αὐτοῖς ἐς ταῦτα οὔσης. ἐπειδὰν δὲ τῷ αὐτοὺς

3

2

3

4

5

6

7

Anatolios in allen Punkten entgegen. Danach sollten weder Perser noch Römer auf ihrem Gebiet in Grenznähe irgendwelche neue Festung anlegen. Beide Völker aber widmeten sich nach Abschluß des Vertrages nach eigenem Belieben ihren inneren Angelegenheiten.

3. Das mißglückte Kriegsunternehmen des Perserkönigs Perozes gegen die Ephthalitischen Hunnen

Einige Zeit später führte der Perserkönig Perozes mit dem Volk der Ephthalitischen Hunnen – man nennt sie die„weißen" – einen Krieg um Grenzgebiete. Er sammelte deshalb ein stattliches Heer und zog gegen sie ins Feld. Die Ephthaliten sind ein hunnisches Volk und heißen auch so, doch vermischen sie sich weder noch verkehren sie mit irgendwelchen uns bekannten Hunnen. Bewohnen sie doch kein Land, das diesen benachbart wäre, oder leben sonstwie dicht bei ihnen, sie grenzen vielmehr nördlich an die Perser, dort wo im äußersten Ende Persiens die Stadt Gorgo liegt. Hier kämpfen beide Völker gewöhnlich miteinander um den Besitz von Grenzstreifen. Die Ephthaliten sind ja auch keine Nomaden wie die übrigen Hunnenstämme, sondern siedeln schon seit alters auf fruchtbarem Boden. Sie haben auch niemals einen Einfall ins römische Gebiet unternommen, außer im Verband mit dem persischen Heer. Als einzige von den Hunnen zeigen diese weiße Hautfarbe und kein entstelltes Gesicht, unterscheiden sich auch von jenen in ihrer Lebensweise und führen kein tierisches Dasein wie die anderen Hunnen. Sie unterstehen vielmehr einem König, besitzen ein geordnetes Staatswesen und verkehren miteinander und mit ihren Nachbarn stets nach Recht und Gesetz. Darin tun sie es den Römern und Persern gleich. Die Wohlhabenden machen sich, wenn möglich, bis an die zwanzig oder mehr Männer zu Freunden, die dann ihre dauernden Zechgenossen werden und auch teilhaben an sämtlichem Besitz, über den ihnen eine gewisse gemeinsame Verfügungsgewalt zusteht. Stirbt nun der Herr der Gefolg-

ἑταιρισαμένῳ τελευτῆσαι ξυμβαίη, τούτους δὴ τοὺς ἄνδρας ζῶντας ξὺν αὐτῷ ἐς τὸν τάφον ἐσκομίζεσθαι νόμος.

'Επὶ τούτους τοὺς 'Εφθαλίτας τῷ Περόζῃ πορευομένῳ 8
ξυμπαρῆν πρεσβευτής, ὃς δὴ ἔτυχε πρὸς βασιλέως Ζήνωνος παρ' αὐτὸν ἐσταλμένος, Εὐσέβιος ὄνομα. 'Εφθαλῖται δὲ δόκησιν παρεχόμενοι τοῖς πολεμίοις, ὅτι δὴ αὐτῶν κατωρρωδηκότες τὴν ἔφοδον ἐς φυγὴν ὥρμηνται, ἧσαν δρόμῳ ἐς χῶρόν τινα, ὅνπερ ὄρη ἀπότομα πανταχόθεν ἐκύκλουν, συχνοῖς τε καὶ ἀμφιλαφέσιν ἐς ἄγαν καλυπτόμενα δένδροις. ἐντὸς δὲ τῶν ὀρῶν προϊόντι ὡς πορρωτάτω 9
ὁδὸς μέν τις ἐφαίνετο ἐν μέσῳ εὐρεῖα ἐπὶ πλεῖστον διήκουσα, ἔξοδον δὲ τελευτῶσα οὐδαμῇ εἶχεν, ἀλλ' ἐς αὐτὸν μάλιστα τὸν κύκλον τῶν ὀρῶν ἔληγε. Περόζης μὲν οὖν, 10
δόλου παντὸς ἀφροντιστήσας οὐκ ἐννοῶν τε ὡς ἐν γῇ ἀλλοτρίᾳ πορεύοιτο, ἀνεπισκέπτως ἐδίωκε. τῶν δὲ Οὔννων ὀλίγοι μέν τινες ἔμπροσθεν ἔφευγον, οἱ δὲ πλεῖστοι 11
ἐν ταῖς δυσχωρίαις διαλαθόντες κατὰ νώτου ἐγένοντο τοῦ τῶν πολεμίων στρατοῦ, οὔπω τε αὐτοῖς ἐβούλοντο ἔνδηλοι εἶναι, ὅπως δὴ τῆς ἐνέδρας πόρρω χωρήσαντες ἐντός τε τῶν ὀρῶν ἐπὶ πλεῖστον γεγενημένοι μηκέτι ὀπίσω ἀναστρέφειν οἷοί τε ὦσιν. ὥνπερ οἱ Μῆδοι αἰσθόμενοι (ἤδη 12
γὰρ καὶ τι τοῦ κινδύνου ὑπέφαινεν) αὐτοὶ μὲν δέει τῷ ἐκ Περόζου τὰ παρόντα σφίσιν ἐν σιωπῇ εἶχον, Εὐσέβιον δὲ πολλὰ ἐλιπάρουν παραίνεσιν ἐς τὸν βασιλέα ποιήσασθαι μακρὰν ἀπολελειμμένον τῶν οἰκείων κακῶν, βουλεύεσθαι μᾶλλον ἢ θρασύνεσθαι οὐκ ἐν δέοντι, καὶ διασκοπεῖσθαι, ἤν τίς ποτε μηχανὴ ἐς σωτηρίαν φέρουσα εἴη. ὁ δὲ Περόζης 13
ἐς ὄψιν ἐλθὼν τύχην μὲν τὴν παροῦσαν ὡς ἥκιστα ἀπεκάλυψεν, ἀρξάμενος δὲ μυθοποιΐας λέοντά ποτε τράγῳ ἔφασκεν ἐντυχεῖν δεδεμένῳ τε καὶ μηκωμένῳ ἐπὶ χώρου τινὸς οὐ λίαν ὑψηλοῦ· ἐπὶ θοίνῃ δὲ αὐτοῦ τὸν λέοντα ἐφιέμενον ὁρμῆσαι μὲν ὡς ἁρπάσοντα, ἐμπεσεῖν δὲ ἐς κατώρυχα βαθεῖαν μάλιστα, ὁδὸν κυκλοτερῆ ἔχουσαν στενήν τε καὶ οὐ πεπερασμένην (διέξοδον γὰρ οὐδαμῇ

schaft, so müssen dem Herkommen nach diese Männer mit ihm zusammen begraben werden.

Als nun Perozes gegen diese Ephthaliten zog, befand sich in seinem Gefolge auch ein Gesandter Eusebios, den Kaiser Zenon zu ihm geschickt hatte. Die Ephthaliten aber wollten bei ihren Gegnern den Eindruck erwecken, als seien sie aus Angs vor ihrem Angriff geflohen, und begaben sich daher eilends an einen Platz, den schroffe, von dichten und riesengroßen Bäumen bestandene Berge auf allen Seiten umgaben. Wenn man ganz tief ins Bergland vorrückte, zeigte sich in dessen Mitte eine breite, sehr lang gedehnte Straße, doch führte sie an ihrem Ende nicht in freies Gelände hinaus, sondern hörte unmittelbar am Rund der Berge auf. Perozes rechnete nicht im mindesten mit einem Anschlag und setzte, ohne zu bedenken, daß er in Feindesland marschierte, die Verfolgung unvorsichtig fort. Während ein paar Hunnen vor ihm her flohen, hatte sich aber die große Masse an den unzugänglichen Orten versteckt und war so in in den Rücken des feindlichen Heeres gekommen. Doch wollten sie sich den Persern noch nicht offen zeigen, damit diese weit über den Hinterhalt hinaus vorstießen und nun tief in den Bergen steckend, keine Möglichkeit zur Umkehr mehr hätten. Die Perser merkten zwar die Gefahr – denn irgendwie kündete sie sich bereits an–, doch schwiegen sie aus Angst vor Perozes über die augenblickliche Lage und redeten nur auf Eusebios mit viel schönen Worten ein, er solle doch in den ganz ahnungslosen König dringen, daß dieser lieber mit sich zu Rate gehe als sich unnötig Gefahren auszusetzen und Ausschau halte, ob noch eine Möglichkeit zur Rettung bestehe. So trat Eusebios vor den Herrscher hin und legte ihm die augenblickliche Lage ganz offen dar, begann jedoch mit einer Fabel. Ein Löwe habe einmal, so sagte er, an einer nicht eben hohen Stelle einen meckernden Ziegenbock angebunden gefunden. Gierig stürzte er sich auf den Fraß, um ihn an sich zu reißen, fiel aber in einen sehr tiefen Graben, der in einem kreisrunden, in sich geschlossenen Weg ohne jeden Ausgang bestand. Diesen hat-

εἶχεν), ἣν δὴ οἱ τοῦ τράγου κύριοι ἐξεπίτηδες τεχνησάμενοι ὕπερθεν τῆς κατώρυχος τὸν τράγον τεθείκασι τῷ λέοντι ποδοστράβην ἐσόμενον. ταῦτα Περόζης ἀκούσας ἐς δέος 14
ἦλθε μή ποτε Μῆδοι ἐπὶ πονηρῷ τῷ σφετέρῳ τὴν δίωξιν ἐπὶ τοὺς πολεμίους πεποίηνται. καὶ πρόσω μὲν οὐκέτι ἐχώρει, μένων δὲ αὐτοῦ τὰ παρόντα ἐν βουλῇ ἐποιεῖτο. Οὔννοι δὲ ἤδη ἑπόμενοι ἐκ τοῦ ἐμφανοῦς τοῦ χώρου τὴν 15
εἴσοδον ἐν φυλακῇ εἶχον, ὅπως μηκέτι οἱ πολέμιοι ὀπίσω ἀπελαύνειν οἷοί τε ὦσι. καὶ οἱ Πέρσαι τότε δὴ λαμπρῶς 16
ἠσθημένοι οὗ ἦσαν κακοῦ ἐν συμφορᾷ ἐποιοῦντο τὰ παρόντα σφίσι, διαφεύξεσθαι τὸν κίνδυνον ἐν ἐλπίδι οὐδεμιᾷ τὸ λοιπὸν ἔχοντες. ὁ δὲ τῶν Ἐφθαλιτῶν βασιλεὺς πέμψας 17
παρὰ Περόζην τῶν οἱ ἑπομένων τινάς, πολλὰ μὲν αὐτῷ θράσους πέρι ἀλογίστου ὠνείδισεν, ἀφ' οὗ δὴ αὐτόν τε καὶ τὸ Περσῶν γένος κόσμῳ οὐδενὶ διαφθείρειεν, ἐνδώσειν δὲ καὶ ὡς τὴν σωτηρίαν Οὔννους αὐτοῖς ἐπηγγέλλετο, ἤν γε αὐτόν τε Περόζης προσκυνεῖν βούλοιτο, ἅτε δεσπότην γεγενημένον καὶ ὅρκους τοὺς σφίσι πατρίους ὀμνὺς τὰ πιστὰ δοίη, μήποτε Πέρσας ἐπὶ τὸ Ἐφθαλιτῶν ἔθνος στρατεύσασθαι.

Ταῦτα ἐπεὶ Περόζης ἤκουσε, μάγων τοῖς παροῦσι κοι- 18
νολογησάμενος ἀνεπυνθάνετο εἰ τὰ ἐπαγγελλόμενα πρὸς τῶν ἐναντίων ποιητέα εἴη. οἱ δὲ μάγοι ἀπεκρίναντο τὰ 19
μὲν ἀμφὶ τῷ ὅρκῳ ὅπη οἱ βουλομένῳ ἐστὶν αὐτὸν διοικήσασθαι, ἐς μέντοι τὸ ἕτερον σοφίᾳ περιελθεῖν τὸν πολέμιον. εἶναι γὰρ αὐτοῖς νόμον τὰς τοῦ ἡλίου ἀνατολὰς 20
προσκυνεῖν ἡμέρᾳ ἑκάστῃ. δεήσειν οὖν αὐτὸν τηρήσαντα 21
ἐς τὸ ἀκριβὲς τὸν καιρὸν ξυγγενέσθαι μὲν ἅμα ἡμέρᾳ τῷ τῶν Ἐφθαλιτῶν ἄρχοντι, τετραμμένον δέ που πρὸς ἀνίσχοντα ἥλιον προσκυνεῖν. ταύτῃ γὰρ ἂν ἐς τὸ ἔπειτα τῆς πράξεως τὴν ἀτιμίαν φυγεῖν δύναιτο. Περόζης μὲν οὖν ἀμφί 22
τε τῇ εἰρήνῃ τὰ πιστὰ ἔδωκε καὶ τὸν πολέμιον προσεκύνησε, καθάπερ τῶν μάγων ἡ ὑποθήκη παρήγγελλεν,

ten die Besitzer des Bockes absichtlich angelegt und oberhalb der Vertiefung den Bock festgemacht, auf daß sie so den Löwen fingen. Wie Perozes das hörte, bekam er Angst, die Perser möchten zu ihrem Schaden die Verfolgung der Feinde durchgeführt haben. Und so rückte er nicht mehr weiter, sondern blieb an Ort und Stelle und beriet sich über die Lage. Die Hunnen aber folgten nun schon ganz offen und bewachten den Zugang, damit sich die Feinde nicht mehr zurückziehen könnten. Jetzt waren sich auch die Perser deutlich ihrer verzweifelten Lage bewußt und hielten sich für verloren; denn sie konnten nicht erwarten, je wieder der Gefahr zu entgehen. Indessen schickte der König der Ephthaliten einige Männer aus seinem Gefolge zu Perozes. Er machte ihm zwar wegen seiner Tollkühnheit, wodurch er sich und das persische Heer sinnlos zugrunde gerichtet habe, viele Vorhaltungen, gab aber gleichwohl die Zusicherung, die Hunnen wollten ihre Feinde schonen. Bedingung sei freilich, daß Perozes vor ihm als seinem Herrn einen Fußfall tue und durch einen Eid nach Landessitte versichere, daß die Perser das Ephthalitenvolk niemals wieder bekriegen wollten.

Als Perozes dies vernahm, besprach er sich mit den Magiern in seiner Umgebung und fragte sie, ob man die feindlichen Forderungen erfüllen solle. Sie gaben daraufhin zur Antwort, in Sachen des Eides könne der König nach Gutdünken verfahren, was aber das weitere Verlangen angehe, so solle er den Feind überlisten; sei es doch bei ihnen Sitte, täglich zur aufgehenden Sonne zu beten. Der König müsse nun diesen Zeitpunkt genau abwarten, zugleich mit Tagesanbruch vor den Ephthalitenherrscher hintreten und zur aufsteigenden Sonne gewandt seinen Fußfall tun. So könne er künftighin den Schimpf dieser Handlung von sich fern halten. Perozes gab dann auch die Friedenszusicherungen und leistete dem Feind den Fußfall auf die Art, wie es ihm die Magier rieten. Hierauf zog er erleichterten Herzens mit dem ganzen persischen Heer,

ἀκραιφνεῖ δὲ παντὶ τῷ Μήδων στρατῷ ἐπ' οἶκου ἄσμενος ἀνεχώρησε.

Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον ἀλογήσας τὰ ὁμωμοσμένα **4**
τίσασθαι Οὔννους τῆς ἐς αὐτὸν ὕβρεως ἤθελε. πάντας 2
οὖν αὐτίκα ἐκ πάσης γῆς Πέρσας τε καὶ ξυμμάχους ἀγείρας ἐπὶ τοὺς Ἐφθαλίτας ἦγε, τῶν παίδων ἕνα μὲν Καβάδην ὄνομα μόνον ἀπολιπών (τηνικαῦτα γὰρ ἠβηκὼς ἔτυχε), τοὺς δὲ λοιποὺς ἅπαντας ἐπαγόμενος τριάκοντα μάλιστα. Ἐφθαλῖται δὲ αὐτοῦ τὴν ἔφοδον γνόντες ἀχθό- 3
μενοί τε οἷς δὴ πρὸς τῶν πολεμίων ἠπάτηντο τὸν βασιλέα ἐκάκιζον, ἅτε προέμενον Μήδοις τὰ πράγματα. καὶ ὅς 4
αὐτῶν ξὺν γέλωτι ἐπυνθάνετο τί ποτε ἄρα σφῶν προέμενος εἴη, πότερον τὴν γῆν ἢ τὰ ὅπλα ἢ ἄλλο τι τῶν πάντων χρημάτων. οἱ δὲ ὑπολαβόντες οὐκ ἄλλο οὐδὲν πλήν γε δὴ 5
ὅτι τὸν καιρὸν ἔφασαν, οὗ τἆλλα πάντα ἠρτῆσθαι ξυμβαίνει. οἱ μὲν οὖν τοῖς ἐπιοῦσιν ὑπαντιάζειν πάσῃ προ- 6
θυμίᾳ ἠξίουν, ὁ δὲ αὐτοὺς μὲν ἔν γε τῷ παρόντι ἐκώλυεν. οὐ γάρ πω σαφές τι ἀμφὶ τῇ ἐφόδῳ ἰσχυρίζετο γεγονέναι σφίσιν, ἐπεὶ οἱ Πέρσαι ἔτι ἐν γῇ τῇ οἰκείᾳ τυγχάνουσιν ὄντες· μένων δὲ αὐτοῦ ἐποίει τάδε.

Ἐν τῷ πεδίῳ, ᾗ ἔμελλον Πέρσαι ἐς τὰ Ἐφθαλιτῶν **7**
ἤθη ἐσβάλλειν, χώραν πολλήν τινα πλεῖστον ἀποτεμὼν τάφρον εἰργάσατο βαθεῖάν τε καὶ εὔρους ἱκανῶς ἔχουσαν, ὀλίγον τινὰ ἐν μέσῳ ἀκραιφνῆ χῶρον ἀπολιπὼν ὅσον ἵππων ὁδῷ ἐπαρκεῖν δέκα. καλάμους τε τῇ τάφρῳ ὕπερ- 8
θεν ἐπιθεὶς καὶ γῆν ἐπὶ τοὺς καλάμους συναμησάμενος ταύτῃ ἐπιπολῆς ἔκρυψεν, Οὔννων τε τῷ ὁμίλῳ ἐπέστελλεν, ἐπειδὰν ἐνθένδε ὀπίσω ἀπελαύνειν μέλλωσι, διὰ χώρου τοῦ χέρσου ἐς ὀλίγους σφᾶς ξυναγαγόντας σχολαιτέρους

ohne daß dieses zu Schaden gekommen war, in sein Land zurück.

4. Perozes' zweite unglückliche Unternehmung gegen die Ephthaliten und sein Tod. Die Geschichte von der wunderbaren Perle

Bald darauf vergaß aber der König seinen Eid und wollte die ihm angetane Schmach an den Hunnen rächen. Er sammelte sogleich alle Perser im ganzen Land, dazu die Bundesgenossen, und zog mit ihnen gegen die Ephthaliten ins Feld. Von seinen Söhnen aber ließ er nur Kabades zurück – dieser war damals erst ins Jünglingsalter getreten –, während er alle anderen, etwa dreißig, mit sich nahm. Als die Ephthaliten von seinem Anmarsch erfuhren, waren sie darüber erbittert, daß sie sich von den Feinden hatten täuschen lassen, und beschuldigten ihren König, ihre Sache an die Perser verraten zu haben. Doch der fragte nur lachend seine Leute, was er denn von ihnen preisgegeben habe, etwa das Land oder die Waffen oder sonst etwas aus dem gesamten Besitz. In ihrer Antwort sprachen die Ephthaliten nur von der günstigen Gelegenheit, von der alles Weitere abhänge. Während nun die Menge verlangte, man solle den Angreifern mit allem Nachdruck begegnen, suchte sie der König für den Augenblick wenigstens daran zu hindern. Sie wüßten, meinte er, noch nichts Bestimmtes vom Herannahen der Feinde; die Perser stünden ja noch in ihrem eigenen Land. So blieb er an Ort und Stelle und traf folgende Anstalten:

In der Ebene, wo man mit dem Einbruch der Perser ins Ephthalitenland rechnete, ließ er über eine sehr weite Strekke hin viel Erde ausheben und einen tiefen und entsprechend breiten Graben anlegen. Lediglich in der Mitte blieb eine schmale Stelle unberührt, die Raum für zehn Pferde bot. Der Graben wurde sodann mit Röhricht belegt und mit Erde zugedeckt und so den Blicken entzogen. Nun erteilte der König dem Heer Befehl, sich bei einem etwaigen Rückzug auf einige wenige Mann zusammenzuschließen und ziemlich langsam den festen Landstreifen zu überqueren, wohl darauf achtend,

ἰέναι, φυλασσομένους ὅπως μὴ ἐς τὰ ἐσκαμμένα ἐμπίπτοιεν· τοὺς δὲ ἄλας ἄκρου σημείου τοῦ βασιλείου ἀπεκρέμασεν, ἐς οὓς τὸν ὅρκον Περόζης ὤμοσε πρότερον, ὃν δὴ ἀλογήσας εἶτα ἐπὶ Οὔννους ἐστράτευσεν. ἕως μὲν οὖν ἐν γῇ τῇ σφετέρᾳ τοὺς πολεμίους ἤκουεν εἶναι, ἡσυχῇ ἔμενεν, ἐπεὶ δὲ αὐτοὺς ἐς Γοργὼ πόλιν ἔμαθεν ἀφικέσθαι πρὸς τῶν κατασκόπων, ἥπερ ἐν τοῖς ἐσχάτοις Περσῶν ὁρίοις τυγχάνει οὖσα, ἐνθένθε τε ἀπαλλαγέντας ὁδῷ ἐπὶ σφᾶς ἤδη ἰέναι, αὐτὸς μὲν τῷ πλείονι τοῦ στρατοῦ τῆς τάφρου ἐντὸς ἔμεινεν, ὀλίγους δὲ πέμψας ὀφθῆναι μὲν τοῖς ἐναντίοις ἐν τῷ πεδίῳ ἐκέλευε μακρὰν ἄποθεν, ὀφθέντας δὲ μόνον εἶτα ἀνὰ κράτος φεύγειν ὀπίσω, ἐν μνήμῃ τὰς αὐτοῦ ἐντολὰς ἀμφὶ τῇ κατώρυχι ἔχοντας, ἡνίκα δὴ αὐτῆς ἄγχιστα ἵκοιντο.

Οἱ δὲ κατὰ ταῦτα ἐποίουν, καὶ ἐπεὶ τῆς διώρυχος ἀγχοτάτω ἐγένοντο, ἐς ὀλίγους σφᾶς ξυναγαγόντες διέβησαν ἅπαντες καὶ τῷ ἄλλῳ στρατῷ ἀνεμίγνυντο. οἱ δὲ Πέρσαι ξυνεῖναι τῆς ἐπιβουλῆς οὐδαμῇ ἔχοντες κατὰ κράτος ἐν πεδίῳ λίαν ὑπτίῳ ἐδίωκον, θυμῷ πολλῷ ἐς τοὺς πολεμίους ἐχόμενοι, ἔς τε τὴν τάφρον ἐμπεπτώκασιν ἅπαντες, οὐχ οἱ πρῶτοι μόνον, ἀλλὰ καὶ ὅσοι ὄπισθεν εἵποντο· ἅτε γὰρ τὴν δίωξιν ξὺν θυμῷ μεγάλῳ, καθάπερ ἐρρήθη, ποιούμενοι, ὡς ἥκιστα ἤσθοντο τοῦ κακοῦ, ὃ δὴ ξυντετύχηκε τοῖς ἔμπροσθεν ἰοῦσιν, ἀλλ' ὑπὲρ αὐτοὺς ξὺν τοῖς ἵπποις τε καὶ δόρασιν ἐμπεπτωκότες ἐκείνους τε, ὡς τὸ εἰκός, ἔκτειναν καὶ αὐτοὶ οὐδέν τι ἧσσον ξυνδιεφθάρησαν.

Ἐν οἷς καὶ Περόζης ἦν ξὺν παισὶ τοῖς αὐτοῦ ἅπασι. καὶ αὐτὸν μέλλοντα ἐς τὸ βάραθρον τοῦτο ἐμπεσεῖσθαί φασι τοῦ τε δεινοῦ ᾐσθῆσθαι καὶ τὸ μάργαρον, ὅ οἱ λευκότατόν τε καὶ μεγέθους ὑπερβολῇ ἔντιμον ἐξ ὠτὸς τοῦ δεξιοῦ ἀπεκρέματο, ἀφελόντα ῥῖψαι, ὅπως δὴ μή τις αὐτὸ ὀπίσω φοροίη, ἐπεὶ ἀξιοθέατον ὑπερφυῶς ἦν, οἷον οὔπω πρότερον ἑτέρῳ τῳ βασιλεῖ γέγονεν, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες. οὐ γὰρ ἂν ἐνταῦθα γενόμενος τοῦ κακοῦ ἄλλου ὁτουοῦν

daß niemand in den Graben falle. Oben aber an sein königliches Feldzeichen ließ der Ephthalite die Purpurstreifen befestigen, bei denen Perozes zuvor geschworen hatte, um dann seinen Eid zu brechen und gegen die Hunnen zu ziehen. Solange er nun hörte, die Feinde stünden noch auf ihrem Gebiet, verhielt er sich ruhig. Doch als ihm seine Späher meldeten, sie hätten bereits die persische Grenzstadt Gorgo erreicht und befänden sich von dort her auf dem Anmarsch, blieb er selbst mit dem Großteil des Heeres hinter dem Graben stehen und schickte nur einige Leute mit dem Auftrage vor, sich den Feinden in der Ebene aus der Ferne zu zeigen und dann möglichst rasch zurückzuziehen; kämen sie aber in unmittelbare Grabennähe, sollten sie sich an seine entsprechenden Weisungen erinnern.

Die Ephthaliten taten wie befohlen: Sowie sie den Graben erreichten, rückten sie auf wenige Mann zusammen und gelangten alle hinüber, worauf sie sich mit dem übrigen Heer vereinigten. Die Perser merkten nichts von der List und stürmten auf der völlig ebenen Fläche mit aller Macht den Feinden wütend nach. Dabei stürzten sie sämtlich in den Graben, nicht nur die vordersten, sondern auch die nachfolgenden Reiter. Denn da sie die Verfolgung mit großer Erbitterung führten, gewahrten sie gar nicht, in was für Verhängnis ihre Vordermänner gerieten, sondern fielen mit ihren Pferden und Lanzen auf sie darauf, töteten so natürlich ihre eigenen Leute und kamen selbst ebenfalls ums Leben.

Auch Perozes und seine sämtlichen Söhne zählten zu den Gefallenen. Unmittelbar vor seinem Sturz in den Graben habe der König, wie es heißt, die Gefahr bemerkt und die glänzendweiße, ob ihrer Größe besonders kostbare Perle, die er an seinem rechten Ohre trug, entfernt und von sich geworfen; denn niemand sollte sie weiterhin tragen, da sie ein besonderes Prachtstück war, wie es noch kein König sonst zuvor besessen hatte. Meiner Ansicht nach verdient jedoch dieser Bericht keinen Glauben, da Perozes in solcher Gefahr auf

ἐς φροντίδα ἦλθεν, ἀλλ' οἶμαι τό τε οὖς αὐτῷ ἐν τούτῳ ξυγκεκόφθαι τῷ πάθει καὶ τὸ μάργαρον ὅπη ποτὲ ἀφανισθῆναι. ὅπερ ὁ 'Ρωμαίων βασιλεὺς τότε πρίασθαι πρὸς 16
τῶν 'Εφθαλιτῶν ἐν σπουδῇ ποιησάμενος ἥκιστα ἴσχυσεν. οὐ γὰρ αὐτὸ εὑρέσθαι οἱ βάρβαροι εἶχον, καίπερ πόνῳ πολλῷ τὴν ζήτησιν ποιησάμενοι. φασὶ μέντοι 'Εφθαλίτας εὑρομένους αὐτὸ ὕστερον τῷ Καβάδῃ ἀποδόσθαι. ὅσα δὲ 17
ἀμφὶ τῷ μαργάρῳ τούτῳ Πέρσαι λέγουσιν, εἰπεῖν ἄξιον· ἴσως γὰρ ἄν τῳ καὶ οὐ παντάπασιν ἄπιστος ὁ λόγος δόξειεν εἶναι.

Λέγουσιν οὖν Πέρσαι εἶναι μὲν ἐν τῷ κτενὶ τὸ μάργαρον 18
τοῦτο ἐν θαλάσσῃ, ἢ ἐν Πέρσαις ἐστί, νήχεσθαι δὲ τὸν κτένα τῆς ταύτῃ ἠιόνος οὐ πολλῷ ἄποθεν· ἀνεωγέναι τε αὐτοῦ ἄμφω τὰ ὄστρακα, ὧν δὴ κατὰ μέσον τὸ μάργαρον εἱστήκει θέαμα λόγου πολλοῦ ἄξιον. ἄλλο γὰρ αὐτῷ εἰκασθῆναι οὐδαμῇ ἔσχεν οὔτε τῷ μεγέθει οὔτε τῷ κάλλει ἐκ τοῦ παντὸς χρόνου. κύνα δὲ θαλάσσιον ὑπερφυᾶ τε καὶ 19
δεινῶς ἄγριον ἐραστὴν τοῦ θεάματος τούτου γενόμενον ἕπεσθαι κατ' ἴχνος αὐτῷ οὔτε νύκτα ἀνιέντα οὔτε ἡμέραν, ἀλλὰ καὶ ἡνίκα τροφῆς ἐπιμελεῖσθαι ἀναγκασθείη, ἐνταῦθα μέν τι περισκοπεῖσθαι τῶν ἐδωδίμων, εὑρόντα δέ τι καὶ ἀνελόμενον ἐσθίειν μὲν ὅτι τάχιστα, καταλαβόντα δὲ αὐτίκα δὴ μάλα τὸν κτένα θεάματος αὖθις τοῦ ἐρωμένου ἐμπίπλασθαι. καί ποτε τῶν τινα γριπέων φασὶ τὰ μὲν 20
ποιούμενα ἐπιδεῖν, ἀποδειλιάσαντα δὲ τὸ θηρίον ἀποκνῆσαι τὸν κίνδυνον, ἔς τε τὸν βασιλέα Περόζην ἅπαντα τὸν λόγον ἀνενεγκεῖν. ἃ δὴ τῷ Περόζῃ ἀκούσαντι πόθον φασὶ 21
τοῦ μαργάρου γενέσθαι μέγαν, πολλαῖς τε ἀπ' αὐτοῦ θωπείας τὸν ἀσπαλιέα τοῦτον καὶ ἀγαθῶν ἐλπίσιν ἐπᾶραι. ὃν δὴ ἀντιτείνειν αἰτουμένῳ δεσπότῃ οὐκ ἔχοντα λέγουσι 22
τάδε τῷ Περόζῃ εἰπεῖν ,,ὦ δέσποτα, ποθεινὰ μὲν ἀνθρώπῳ χρήματα, ποθεινοτέρα δὲ ἡ ψυχή, πάντων μέντοι ἀξιώτατα τέκνα. ὧν τῇ στοργῇ ἀναγκασθεὶς φύσει ἴσως ἄν 23
τις καὶ πάντα τολμήσειεν. ἐγὼ τοίνυν τοῦ τε θηρίου ἀπο-

nichts mehr geachtet hätte. Ihm wurde vielmehr, wie ich glaube, bei diesem Unglück das Ohr zerquetscht, und dabei ging die Perle irgendwie verloren. Der römische Kaiser gab sich damals alle Mühe, die Perle von den Ephthaliten zu erwerben, jedoch vergebens; denn trotz sorgfältiger Nachsuche konnten sie die Barbaren nicht finden. Indessen soll sie späterhin von den Ephthaliten gefunden und an Kabades verkauft worden sein.

Was nun die Perser über diese Perle zu berichten wissen, verdient Erwähnung und scheint vielleicht auch keine völlig unglaubwürdige Geschichte. Sie erzählen nämlich, die Perle habe in einem ihrer Meere in einer Muschel gelegen, und diese sei nahe der dortigen Küste umhergeschwommen. Ihre beiden Schalen seien geöffnet gewesen, dazwischen aber in der Mitte habe die Perle gesteckt, eine gar beachtliche Sehenswürdigkeit; denn nichts konnte je an Größe wie Schönheit einen Vergleich mit ihr aushalten. Nun verliebte sich ein riesiger, sehr wilder Seehund in dieses Wunder und wich weder bei Nacht noch bei Tag von seiner Spur. Selbst wenn er für seine Nahrung sorgen mußte, hielt er nur an Ort und Stelle nach Beute Ausschau und wenn er etwas fand und fing, schlang er es in aller Hast hinunter, um dann gleich wieder die Muschel ins Auge zu fassen und sich an dem geliebten Anblick zu sättigen. Ein Fischer soll einstmals all dies beobachtet haben, doch scheute er die Gefahr aus Angst vor dem Tier und begnügte sich, die ganze Sache dem König Perozes zu berichten. Als der davon hörte, bekam er, wie man sagt, lebhaftes Verlangen nach der Perle und suchte seitdem den Fischer mit vielen Schmeichelworten und Versprechungen zu gewinnen. Schließlich soll dieser dem Verlangen seines Herrn nachgegeben haben, doch sprach er zu Perozes folgende Worte: „Mein Gebieter, erstrebenswert für einen Menschen ist Geld, erstrebenswerter das Leben, am allerwertvollsten jedoch sind für ihn die Kinder. Aus Liebe zu ihnen könnte einer von Natur aus vielleicht sogar alles wagen. So hoffe ich denn,

πειράσεσθαι καὶ τοῦ μαργάρου σε κύριον θήσεσθαι ἐλπίδα
ἔχω. καὶ ἢν μὲν κρατήσω τοῦ ἀγῶνος τούτου, εὔδηλον ὡς 24
ἐν τοῖς καλουμένοις ὀλβίοις τὸ ἐνθένδε τετάξομαι. σέ τε
γὰρ πᾶσιν ἀγαθοῖς με δωρήσεσθαι ἅτε βασιλέων βασιλέα
οὐδὲν ἀπεικός, καὶ ἐμοὶ ἀποχρήσει, καίπερ οὐδέν, ἂν οὕτω
τύχοι, κεκομισμένῳ, τὸ δεσπότου εὐεργέτην τοῦ ἐμοῦ γεγε-
νῆσθαι. εἰ δὲ ἐμὲ δεῖ τῷ θηρίῳ τούτῳ ἁλῶναι, σὸν δὴ 25
ἔργον ἔσται, ὦ βασιλεῦ, τοὺς παῖδας τοὺς ἐμοὺς θανάτου
τοῦ πατρῴου ἀμείψασθαι. οὕτω γὰρ ἐγὼ μὲν καὶ τετελευ- 26
τηκὼς ἐν τοῖς ἀναγκαιοτάτοις ἔμμισθος ἔσομαι, σὺ δὲ
ἀρετῆς δόξαν ἀποίσῃ μείζω. τὰ παιδία γὰρ ὠφελῶν εὖ
ποιήσεις ἐμέ, ὅσπερ σοι τῆς εὐεργεσίας τὴν χάριν οὐδαμῆ
εἴσομαι. αὕτη γὰρ ἂν εὐγνωμοσύνη ἀκίβδηλος γένοιτο
μόνη ἡ ἐς τοὺς ἀποθανόντας ἐπιδειχθεῖσα." τοσαῦτα 27
εἰπὼν ἀπηλλάσσετο. καὶ ἐπεὶ ἐς τὸν χῶρον ἀφίκετο, ἵνα
δὴ ὅ τε κτεὶς νήχεσθαι καὶ ὁ κύων αὐτῷ εἴθιστο ἕπεσθαι,
ἐνταῦθα ἐπὶ πέτρας ἑκάθητό τινος, καιροφυλακῶν εἴ πως
ἔρημόν ποτε τὸ μάργαρον τοῦ ἐραστοῦ λάβοι. ἐπειδὴ δὲ 28
τῷ κυνὶ τάχιστα τῶν τινι ἐς τὴν θοίνην οἱ ἐπιτηδείως
ἐχόντων ἐντετυχηκέναι ξυνέπεσε καὶ περὶ τοῦτο δια-
τριβὴν ἔχειν, ἀπολιπὼν ἐπὶ τῆς ἀκτῆς ὁ ἁλιεὺς τούς οἱ
ἐπὶ ταύτῃ δὴ ἑπομένους τῇ ὑπουργίᾳ εὐθὺ τοῦ κτενὸς
σπουδῇ πολλῇ ᾔει, καὶ αὐτοῦ ἤδη λαβόμενος ἔξω γενέσ- 29
θαι κατὰ τάχος ἠπείγετο. οὗ δὴ ὁ κύων αἰσθόμενος ἐβοή-
θει ἐνταῦθα. ἰδών τε αὐτὸν ὁ σαγηνευτής, ἐπεὶ κατα-
λαμβάνεσθαι τῆς ἠιόνος οὐ μακρὰν ἔμελλε, τὸ μὲν θήραμα
ἠκόντισεν ἐς τὴν γῆν δυνάμει τῇ πάσῃ, αὐτὸς δὲ ἁλοὺς
διεφθάρη οὐ πολλῷ ὕστερον. ἀνελόμενοι δὲ τὸ μάργαρον 30
οἱ ἐπὶ τῆς ἀκτῆς λελειμμένοι τῷ τε βασιλεῖ ἀπεκόμισαν
καὶ τὰ ξυνενεχθέντα πάντα ἐσήγγειλαν.

Τὰ μὲν οὖν ἀμφὶ τῷ μαργάρῳ τούτῳ τῇδε, ἥπερ ἐρρήθη, 31
Πέρσαι ξυνενεχθῆναί φασιν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον
λόγον ἐπάνειμι. οὕτω μὲν Περόζης τε διεφθάρη καὶ ξύμ- 32
πασα ἡ Περσῶν στρατιά. εἰ γάρ τις οὐκ ἐμπεπτωκὼς ἐς τὴν

das Tier zu bestehen und dich in den Besitz der Perle zu bringen. Gehe ich nun aus diesem Kampf siegreich hervor, werde ich gewiß für die Zukunft zu den sog. Gesegneten gehören; denn als König der Könige wirst du mich natürlich mit allen Gütern beschenken, und selbst wenn ich etwa nichts bekommen sollte, wird es mir genügen, zum Wohltäter meines Herrn geworden zu sein. Muß ich aber durch dieses Tier sterben, dann wird es, mein König, an dir liegen, meine Kinder für den Verlust des Vaters zu entschädigen. So werde ich auch nach meinem Tod noch meinen nächsten Angehörigen helfen können, du aber wirst für deinen Edelmut noch größeren Ruhm einheimsen; denn wenn du meine Kinder unterhältst, wirst du auch mich begnaden, der ich dir für deine Wohltat dann ja nicht mehr danken kann. Einzig wahre Güte ist doch wohl nur jene, die man Toten erzeigt." Mit diesen Worten entfernte sich der Fischer. Als er nun zu der Stelle gekommen war, wo die Muschel, von ihrem Seehund begleitet, gewöhnlich schwamm, setzte er sich auf eine Klippe und paßte auf, ob er einmal die Perle ohne ihren Liebhaber treffe. Und es geschah, daß der Seehund etwas Freßbares fand und sich damit aufhielt. Da ließ der Fischer am Strande die für diesen Zweck ihm mitgegebenen Begleiter zurück und strebte geradewegs eiligst auf die Muschel zu. Schon hatte er sie erfaßt und wollte mit seiner Beute so schnell wie möglich heraus ans Land, als ihn der Seehund bemerkte und herbeischwamm. Der Fischer gewahrte seinen Verfolger und warf, als er dem Ufer schon nahe schien, mit aller Kraft sein Beutestück ans Land, doch dann wurde er selbst von dem Tier gepackt und gleich darauf getötet. Die am Strande verbliebenen Männer hoben die Perle auf, brachten sie dem König und erzählten ihm den ganzen Hergang.

Mit der Perle soll es nach der persischen Darstellung, wie gesagt, so gewesen sein. Ich aber kehre zu meinem früheren Bericht zurück. Perozes fand nun auf die erwähnte Weise den Tod und mit ihm das ganze Perserheer; denn wenn einer nicht in den Graben gestürzt war, geriet er in Feindeshand.

διώρυχα ἔτυχεν, ὅδε ὑπὸ τῶν πολεμίων ταῖς χερσὶ γέγονε. καὶ ἀπ' αὐτοῦ νόμος τέθειται Πέρσαις μή ποτε σφᾶς ἐν 33
γῇ πολεμίᾳ ἐλαύνοντας δίωξιν ποιεῖσθαί τινα, ἢν καὶ κατὰ κράτος τοὺς ἐναντίους σφίσι τραπῆναι ξυμβαίη. ὅσοι μέντοι 34
Περόζῃ οὐ ξυστρατεύσαντες ἐν χώρᾳ τῇ αὐτῶν ἔμειναν, οὗτοι, δὴ βασιλέα σφίσι Καβάδην εἵλοντο τὸν νεώτατον Περόζου υἱόν, ὅσπερ τηνικαῦτα περιῆν μόνος. τότε δὴ 35
Ἐφθαλίταις κατήκοοι ἐς φόρου ἀπαγωγὴν ἐγένοντο Πέρσαι, ἕως Καβάδης τὴν ἀρχὴν ἰσχυρότατα κρατυνάμενος φόρον αὐτοῖς ἀποφέρειν τὸν ἐπέτειον οὐκέτι ἠξίου. ἦρξαν δὲ Περσῶν οἱ βάρβαροι οὗτοι ἐνιαυτοὺς δύο.

Μετὰ δὲ Καβάδης ἐπὶ τὸ βιαιότερον τῇ ἀρχῇ χρώμενος **5**
ἄλλα τε νεώτερα ἐς τὴν πολιτείαν εἰσῆγε καὶ νόμον ἔγραψεν ἐπὶ κοινὰ ταῖς γυναιξὶ μίγνυσθαι Πέρσας· ὅπερ τὸ πλῆθος οὐδαμῇ ἤρεσκε. διὸ δὴ αὐτῷ ἐπαναστάντες παρέλυσάν 2
τε τῆς ἀρχῆς καὶ δήσαντες ἐν φυλακῇ εἶχον. καὶ βασιλέα μὲν σφίσι Βλάσην τὸν Περόζου ἀδελφὸν εἵλοντο, ἐπειδὴ γόνος μὲν οὐδεὶς ἔτι ἄρρην Περόζῃ, ὥσπερ ἐρρήθη, ἐλέλειπτο, Πέρσαις δὲ οὐ θέμις ἄνδρα ἐς τὴν βασιλείαν καθίστασθαι ἰδιώτην γένος, ὅτι μὴ ἐξιτήλου παντάπασι 3
γένους τοῦ βασιλείου ὄντος· Βλάσης δὲ τὴν βασιλείαν παραλαβὼν Περσῶν τε τοὺς ἀρίστους ξυνέλεξε καὶ τὰ ἀμφὶ τῷ Καβάδῃ ἐν βουλῇ ἐποιεῖτο· τὸν γὰρ ἄνθρωπον 4
ἀποκτιννύναι οὐκ ἦν βουλομένοις τοῖς πλείοσιν. ἔνθα δὴ πολλαὶ μὲν ἐλέχθησαν γνῶμαι ἐφ' ἑκάτερα φέρουσαι, παρελθὼν δὲ τῶν τις ἐν Πέρσαις λογίμων, ὄνομα μὲν Γουσαναστάδης, χαναράγγης δὲ τὸ ἀξίωμα (εἴη δ' ἂν ἐν Πέρσαις στρατηγὸς τοῦτό γε), πρὸς αὐταῖς που ταῖς ἐσχατιαῖς τῆς Περσῶν γῆς τὴν ἀρχὴν ἔχων ἐν χώρᾳ ᾗ τοῖς Ἐφθαλίταις ὅμορός ἐστι, καὶ τὴν μάχαιραν ἐπιδείξας ᾗ

Seitdem gilt bei den Persern das Gesetz, niemals im Feindesland eine schnelle Verfolgung durchzuführen, auch wenn die Gegner entscheidend geschlagen sein sollten. Wer nun nicht mit Perozes ins Feld gezogen, sondern daheim geblieben war, wählte Kabades, den jüngsten Sohn des Perozes, als einzigen damals überlebenden Prinzen zum König. In dieser Zeit wurden die Perser den Ephthaliten tributpflichtig, bis Kabades sein Reich kraftvoll befestigt hatte und ihnen die weitere Entrichtung der jährlichen Abgabe verweigerte. Die Herrschaft dieser Barbaren über die Perser dauerte aber zwei Jahre.

5. König Kabades wird wegen anstößiger Regierungsmaßnahmen gestürzt und von seinem Nachfolger an den „Ort des Vergesses" gebracht. Die Gefangennahme und der tragische Tod des Armenierkönigs Arsakes

Späterhin führte Kabades ein ziemlich gewaltsames Regiment und erließ von anderen staatlichen Neuerungen abgesehen auch das Gesetz, daß die Perser Frauengemeinschaft pflegen dürften. Diese Maßnahme stieß beim Volk auf allgemeine Ablehnung, und so erhoben sich die Perser gegen ihn, setzten ihn ab und hielten ihn in Fesseln gefangen. Zu ihrem König aber wählten sie – Perozes hatte, wie gesagt, keinen weiteren männlichen Erben hinterlassen – dessen Bruder Blases; denn kein Mann gewöhnlicher Herkunft darf bei den Persern den Thron besteigen, es sei denn der königliche Stamm ist völlig ausgestorben. Als Blases die Herrschaft angetreten hatte, ließ er die vornehmsten Perser zusammenkommen und hielt Rat, was mit Kabades geschehen solle; die Mehrzahl war ja nicht für seinen Tod. Hier wurden nun viele Ansichten laut, dafür und dagegen, bis schließlich ein hochgestellter Perser namens Gusanastades auftrat, der die Würde eines Chanaranges bekleidete (dies dürfte bei den Persern ein Feldherr sein) und seinen Befehlsbereich im äußersten persischen Grenzgebiet hatte, in einem Lande, das den Ephthaliten unmittelbar benachbart ist. Dieser Mann zeigte den Persern

τῶν ὀνύχων τὰ προῦχοντα Πέρσαι εἰώθασιν ἀποτέμνεσθαι, μῆκος μὲν ὅσον δακτύλου ἀνδρός, πάχος δὲ οὐδὲ τριτημόριον δακτύλου ἔχουσαν ,,ταύτην ὁρᾶτε" εἶπε ,,τὴν μάχαιραν, βραχεῖαν παντάπασιν οὖσαν· αὕτη μέντοι ἔργον ἐν τῷ παρόντι ἐπιτελεῖν οἷα τέ ἐστιν, ὅπερ εὖ ἴστε ὀλίγῳ ὕστερον, ὦ φίλτατοι Πέρσαι, μυριάδες δύο τεθωρακισμένων ἀνδρῶν ἐξεργάζεσθαι οὐκ ἂν δύναιντο." ὁ μὲν ταῦτα εἶπε, παραδηλῶν ὡς, ἢν μὴ Καβάδην ἀνέλωσιν, αὐτίκα πράγματα Πέρσαις περιὼν παρέξει. οἱ δὲ κτεῖναι ἄνδρα τοῦ βασιλείου αἵματος οὐδ' ὅλως ἔγνωσαν, ἀλλ' ἐν φρουρίῳ καθεῖρξαι ὅπερ τῆς Λήθης καλεῖν νενομίκασιν. ἢν γάρ τις ἐνταῦθα ἐμβληθεὶς τύχῃ, οὐκέτι ὁ νόμος ἐφίησι μνήμην αὐτοῦ εἶναι, ἀλλὰ θάνατος τῷ ὠνομακότι ἡ ζημία ἐστί· διὸ δὴ καὶ τὴν ἐπωνυμίαν ταύτην πρὸς Περσῶν ἔλαχεν.

Ἅπαξ δὲ ἡ τῶν Ἀρμενίων ἱστορία φησὶ νόμου τοῦ ἀμφὶ τῷ Λήθης φρουρίῳ παραλελύσθαι τὴν δύναμιν Πέρσαις τρόπῳ τοιῷδε. πόλεμός ποτε Πέρσαις τε καὶ Ἀρμενίοις ἀκήρυκτος γέγονεν εἰς δύο καὶ τριάκοντα ἔτη ἐπὶ Πακουρίου μὲν Περσῶν βασιλεύοντος, Ἀρμενίων δὲ Ἀρσάκου Ἀρσακίδου ἀνδρός. τούτῳ τε τῷ πολέμῳ μηκυνομένῳ κεκακῶσθαι μὲν ἐς ἄγαν ἀμφοτέρους ξυνέβη καὶ διαφερόντως τοὺς Ἀρμενίους. ἀπιστίᾳ δὲ πολλῇ ἐς ἀλλήλους ἐχόμενοι ἐπικηρυκεύεσθαι παρὰ τοὺς ἐναντίους οὐδέτεροι εἶχον. ἐν τούτῳ δὲ Πέρσας τετύχηκε πόλεμον πρὸς ἄλλους βαρβάρους τινὰς οὐ πόρρω Ἀρμενίων ᾠκημένους διενεγκεῖν. οἵ τε Ἀρμένιοι ἐν σπουδῇ ἔχοντες ἐπίδειξιν ἐς Πέρσας τῆς ἐς αὐτοὺς εὐνοίας τε καὶ εἰρήνης ποιήσασθαι, ἐσβαλεῖν ἐς τούτων δὴ τῶν βαρβάρων τὴν γῆν ἔγνωσαν, δηλώσαντες τοῦτο πρότερον Πέρσαις. ἀπροσδόκητοί τε αὐτοὶ ἐπιπεσόντες σχεδόν τι ἅπαντας ἠβηδὸν ἔκτειναν. ὅ τε Πακούριους τοῖς πεπραγμένοις ὑπερησθείς, πέμψας παρὰ τὸν Ἀρσάκην τῶν οἱ ἐπιτηδείων τινὰς τά τε πιστὰ οἱ παρασχόμενος τὸν ἄνθρωπον μετεπέμψατο.

das Messerchen, mit dem sie sich gewöhnlich die Nägel kürzen, etwa einen Finger lang und nicht einmal einen drittel Finger breit. „Schaut mal auf dieses Messer!" sprach er. „Es ist ganz kurz, kann aber augenblicklich ein Werk vollbringen, wozu wenig später – wißt es wohl, meine lieben Perser – nicht einmal zwanzigtausend gewappnete Männer imstande sein dürften." Die Perser waren indessen durchaus dagegen, einen Mann königlichen Geblüts zu töten, er sollte vielmehr in einem Gefängnis eingeschlossen werden, das sie den „Ort der Vergessenheit" zu nennen pflegen. Denn wenn jemand einmal dorthinein geworfen ist, darf man seiner nach dem Gesetz nicht mehr Erwähnung tun, und der Tod droht dem als Strafe, der dennoch von ihm spricht. So hat der Platz von den Persern auch diesen seinen Namen erhalten.

Einmal freilich soll, so berichtet die armenische Geschichte, das Gesetz über das „Gefängnis der Vergessenheit" bei den Persern seine Geltung verloren haben und zwar auf folgende Weise: Perser und Armenier führten einst unter dem Perserkönig Pakurios und dem Armenierkönig Arsakes, einem Arsakiden, 32 Jahre lang einen erbitterten Krieg. Da sich dieser Krieg so in die Länge zog, erlitten beide Parteien sehr schwere Verluste, vor allem die Armenier. Bei dem tiefen gegenseitigen Mißtrauen aber brachte es keines der beiden Völker über sich, mit den Feinden Verhandlungen anzuknüpfen. Da traf es sich, daß die Perser mit anderen Barbaren, die in der Nähe der Armenier wohnten, Krieg führten. Die Armenier aber wollten den Persern ihre Ergebenheit und Friedenssehnsucht beweisen, gaben ihnen also zuvor Nachricht und fielen dann in das Land der genannten Barbaren ein. Der Angriff traf die Feinde unerwartet, so daß fast alle Mann für Mann fielen. Darüber hocherfreut, schickte Pakurios einige seiner Vertrauten zu Arsakes, gab ihm eidliche Zusicherungen und ließ ihn zu sich kommen. Nach seinem Eintreffen

καὶ ἐπεὶ παρ' αὐτὸν Ἀρσάκης ἀφίκετο, τῆς τε ἄλλης 14
αὐτὸν φιλοφροσύνης ἠξίωσε καὶ ἅτε ἀδελφὸν ἐπὶ τῇ ἴσῃ
καὶ ὁμοίᾳ ἔσχε. καὶ τότε μὲν ὅρκοις δεινοτάτοις τόν τε 15
Ἀρσάκην καταλαβὼν καὶ αὐτὸς οὐδέν τι ἧσσον ὁμωμοκὼς
ἢ μὴν εὔνους τε καὶ ξυμμάχους Πέρσας τε τὸ λοιπὸν καὶ
Ἀρμενίους ἀλλήλοις εἶναι, αὐτίκα δὴ αὐτὸν ἐς τὰ πάτρια
ἤθη ἀφῆκεν ἰέναι. χρόνῳ δὲ οὐ πολλῷ ὕστερον διέβαλον τὸν 16
Ἀρσάκην τινὲς ὡς δὴ πράγμασι νεωτέροις ἐγχειρεῖν
βούλοιτο. οἷσπερ ἀναπεισθεὶς ὁ Πακούριος αὖθις αὐτὸν
μετεπέμπετο ὑπειπὼν ὅτι δὴ αὐτῷ τι κοινολογεῖσθαι
ὑπὲρ τῶν ὅλων ἐπιμελὲς εἴη. καὶ ὃς οὐδέν τι μελλήσας 17
ἐς αὐτὸν ἦλθεν, ἄλλους τε τῶν ἐν Ἀρμενίοις μαχιμωτά-
των ἐπαγόμενος καὶ Βασσίκιον, ὅσπερ αὐτῷ στατηγός
τε καὶ ξύμβουλος ἦν· ἀνδρίας τε γὰρ καὶ ξυνέσεως ἐπὶ
πλεῖστον ἀφῖκτο. εὐθὺς οὖν ὁ Πακούριος ἄμφω, τόν τε 18
Ἀρσάκην καὶ Βασσίκιον, πολλὰ ὀνειδίζων ἐκάκιζεν, εἰ τὰ
ὁμωμοσμένα ἠλογηκότε οὕτω δὴ τάχιστα ἐς ἀπόστασιν
ἴδοιεν. οἱ δὲ ἀπηρνοῦντό τε καὶ ἀπώμνυον ἐνδελεχέστατα
μηδὲν σφίσιν αὐτοῖς βεβουλεῦσθαι τοιοῦτο. τὰ μὲν οὖν 19
πρῶτα ὁ Πακούριος αὐτοὺς ἐν ἀτιμίᾳ ἐφύλασσεν, ἔπειτα δὲ
τῶν μάγων ἀνεπυνθάνετο ὅ τί οἱ ποιητέα ἐς αὐτοὺς εἴη. οἱ 20
δὲ μάγοι τῶν μὲν ἀρνουμένων καὶ οὐ διαρρήδην ἐληλεγ-
μένων καταγινώσκειν οὐδαμῇ ἐδικαίουν, ὑποθήκην δὲ αὐτῷ
τινα ἔφραζον, ὅπως ἂν Ἀρσάκης αὐτὸς ἄντικρυς αὐτοῦ
κατηγορεῖν ἀναγκάζοιτο. τὸ γὰρ τῆς βασιλικῆς σκηνῆς 21
ἔδαφος κόπρῳ καλύπτειν ἐκέλευον, ἥμισυ μὲν ἐκ τῆς
Περσῶν χώρας, θάτερον δὲ ἥμισυ ἐκ τῆς Ἀρμενίας.
καὶ ὁ βασιλεὺς κατὰ ταῦτα ἐποίει.τότε δὴ οἱ μάγοι τὴν 22
σκηνὴν ὅλην μαγείαις τισὶ καταλαβόντες ἐκέλευον τὸν
βασιλέα ξὺν τῷ Ἀρσάκῃ τοὺς περιπάτους ἐνταῦθα ποιεῖσ-
θαι, ἐπικαλοῦντα τοῖς τε ξυγκειμένοις καὶ ὁμωμοσμένοις 23
λυμήνασθαι. δεῖν δὲ καὶ αὐτοὺς τῷ διαλόγῳ παραγενέσθαι.
οὕτω γὰρ ἂν τῶν λόγων μάρτυρες ἁπάντων εἶεν. αὐτίκα
γοῦν ὁ Πακούριος τὸν Ἀρσάκην μεταπεμψάμενος διαύλους

zeichnete der Perserkönig den Armenier auf jede Weise aus und stellte ihn sich als Bruder völlig gleich. Er verpflichtete damals Arsakes mit heiligsten Eiden und gelobte ihm auch seinerseits, daß Perser und Armenier künftighin einander freund und verbündet sein sollten. Dann entließ Pakurios seinen Gast sogleich in seine Heimat. Doch bald darauf verleumdeten einige den Arsakes, er gehe auf Umsturz aus. Pakurios, der den Worten Glauben schenkte, lud daraufhin den Armenier wieder zu sich und ließ ihm sagen, er möchte gerne mit ihm die allgemeine Lage erörtern. Ungesäumt leistete Arsakes dem Ersuchen Folge und brachte neben anderen hervorragenden armenischen Kriegern auch den Bassikios mit, seinen Feldherrn und Ratgeber. Dieser besaß nämlich einzigartige Tapferkeit und Klugheit. Sofort erhob Pakurios unter vielen Scheltworten gegen Arsakes und Bassikios den Vorwurf, ob sie denn ihren Eid so gering eingeschätzt hätten, daß sie derart schnell an Abfall dächten. Beide leugneten jedoch und schworen immer wieder, nichts dergleichen beabsichtigt zu haben. Zunächst hielt sie Pakurios in schimpflicher Haft, dann befragte er die Magier, wie er mit ihnen verfahren solle. Diese erklärten es für rechtswidrig, die Männer zu verurteilen, solange sie ihre Schuld leugneten und nicht eindeutig überführt seien, gaben indessen dem König einen Rat, wie Arsakes veranlaßt werden könne, sich selber offen anzuklagen. Zu diesem Zweck ließen sie den Boden des königlichen Zeltes mit Erde bedecken, die eine Hälfte mit solcher aus Persien, die andere mit solcher aus Armenien. Und so machte es auch der König. Die Magier belegten nun das ganze Zelt mit bestimmten Zauberformeln und baten ihren Herrscher, mit Arsakes darinnen umherzuwandeln und ihn aufzufordern, er solle den beschworenen Vertrag schmähen. Sie müßten aber auch selbst dem Gespräch beiwohnen, um so alle Worte bezeugen zu können. Unverzüglich ließ Pakurios den Arsakes kommen, ging im Beisein der Magier mit

ἐν τῇ σκηνῇ ξὺν αὐτῷ ἐποιεῖτο, παρόντων σφίσιν ἐνταῦθα τῶν μάγων, καὶ ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὅτου δὴ ἕνεκα τὰ ὁμωμοσμένα ἠλογηκὼς εἶτα Πέρσας τε καὶ Ἀρμενίους αὖθις τρίβειν ἀνηκέστοις κακοῖς ἐγχειροίη· ὁ δὲ Ἀρσάκης, ἕως μὲν ἐν τῷ χώρῳ οἱ λόγοι ἐγί- 24
νοντο οὗ δὴ ὁ χοῦς ἐκ γῆς τῆς Περσίδος ἐπέκειτο, ἀπηρνεῖτό τε καὶ ὅρκοις τοῖς δεινοτάτοις πιστούμενος ἀνδράποδον ἰσχυρίζετο εἶναι Πακουρίου πιστόν· ἐπειδὴ δὲ 25
μεταξὺ λέγων ἐς τῆς σκηνῆς τὸ μέσον ἀφῖκτο, ἵνα δὴ πότρου τῆς Ἀρμενίας ἐπέβησαν, ἐνταῦθα οὐκ οἶδα ὅτῳ ἀναγκασθεὶς λόγους μὲν τούτους ἐπὶ τὸ θρασύτερον ἐξαπιναίως μεταβιβάζει, ἀπειλῶν δὲ τῷ τε Πακουρίῳ καὶ Πέρσαις οὐκέτι ἀνίει, ἀλλὰ τίσασθαι αὐτοὺς ἐπηγγέλλετο ὕβρεως τῆσδε, ἐπειδὰν αὐτὸς αὐτοῦ τάχιστα κύριος γένοιτο. καὶ ταῦτα λέγων τε καὶ νεανιευόμενος 26
ἐποιεῖτο τὸν περίπατον ὅλον, ἕως ἀναστρέψας ἐς κόπρον αὖθις τὴν ἐκ γῆς τῆς Περσίδος ἀφίκετο. ἐνταῦθα γὰρ πάλιν ὥσπερ τινὰ παλινῳδίαν ᾄδων ἱκέτης τε ἦν καὶ οἰκτρούς τινας τῷ Πακουρίῳ προὔφερε λόγους. ἐπεὶ δὲ 27
ἐς χοῦν αὖθις τὸν Ἀρμενίων ἦλθεν, ἐς τὰς ἀπειλὰς ἀπεχώρησε. καὶ πολλάκις οὕτω μεταβληθεὶς ἐφ' ἑκάτερα ἔκρυψε τῶν οἱ ἀπορρήτων οὐδέν. τότε δὴ οἱ μὲν μάγοι 28
κατέγνωσαν αὐτοῦ ἔς τε τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἠδικηκέναι. Πακούριος δὲ Βασσικίου μὲν τὸ δέρμα ἐκδείρας ἀσκόν τε αὐτὸ πεποιημένος καὶ ἀχύρων ἐμπλησάμενος ὅλον ἀπεκρέμασεν ἐπὶ δένδρου τινὸς ὑψηλοῦ λίαν. τὸν μέντοι Ἀρσάκην (ἀποκτεῖναι γὰρ ἄνδρα τοῦ βασι- 29
λείου αἵματος ὄντα οὐδαμῇ εἶχεν) ἐν τῷ τῆς Λήθης φρουρίῳ καθεῖρξε. χόνῳ δὲ ὕστερον τῶν τις Ἀρμενίων τῷ τε 30
Ἀρσάκῃ ἐν τοῖς μάλιστα ἐπιτηδείων καί οἱ ἐπισπομένων ἐς τὰ Περσῶν ἤθη ἰόντι, Πέρσαις ἐπί τι ἔθνος ἰοῦσι βαρβαρικὸν ξυνεστράτευσεν· ὃς δὴ ἀνήρ τε ἀγαθὸς ἐν τῷ πόνῳ τούτῳ, ὁρῶντος Πακουρίου τὰ ποιούμενα, γέγονε καὶ τῆς νίκης αἰτιώτατος Πέρσαις. διὸ δὴ αὐτὸν ὁ 31

ihm im Zelte auf und nieder und fragte, weshalb er denn die Eide gebrochen habe und nun Perser wie Armenier neuerdings mit schrecklichen Leiden heimsuchen wolle. Solange die Gespräche auf dem Platze geführt wurden, wo die persische Erde aufgeschüttet war, leugnete Arsakes alles ab und behauptete unter den heiligsten Schwüren, ein treuer Knecht des Pakurios zu sein. War er aber unterm Reden zur Mitte des Zeltes gelangt, wo sie die armenische Erde betraten, so spürte er einen rätselhaften Zwang, gab seinen Worten plötzlich eine kühnere Wendung und stieß unablässig Drohungen gegen Pakurios und die Perser aus. Er wolle, sobald er wieder sein eigener Herr sei, diese Mißhandlung an ihnen rächen. Unter solch großsprecherischen Worten legte er die ganze Strecke zurück, bis er auf dem Rückweg wieder die persische Erde betrat. Dort stimmte er von neuem gleichsam einen Widerruf an, gab sich als Schutzflehender und ließ vor Pakurios Jammerworte vernehmen. Kam er wieder auf den armenischen Boden, verfiel er in seine alten Drohungen. So tauschte er oftmals seine Rollen und gab sämtliche Geheimnisse preis. Jetzt fällten die Magier über ihn das Urteil, daß er sich gegen den Vertrag und die eidlichen Zusagen vergangen habe. Pakurios aber ließ dem Bassikios die Haut abziehen, einen Schlauch daraus fertigen und ihn, ganz mit Stroh ausgestopft, an einem sehr hohen Baum aufhängen, während er Arsakes in das Gefängnis der Vergessenheit sperrte; denn einen Mann königlichen Geblüts durfte er nicht töten. Einige Zeit danach zog einer von den Armeniern, die dem Arsakes sehr nahe standen und ihn auf dem Wege nach Persien begleitet hatten, zusammen mit den Persern gegen ein barbarisches Volk zu Feld. Er bewährte sich in diesem Kampf vor den Augen des Pakurios als solch tapferer Mann, daß der persische Sieg ihm vor allem zuzuschreiben war. Deshalb erlaubte ihm Pakurios, einen Wunsch zu äußern, und versicherte, er werde ihm nichts versagen. Der Armenier aber hatte nur

Πακούριος ὅ τι ἂν βούλοιτο αἰτεῖσθαι ἠξίου, ἰσχυρισάμενος ὅτι δὴ οὐδενὸς πρὸς αὐτοῦ ἀτυχήσει. ὁ δὲ ἄλλο οἱ 32
οὐδὲν γενέσθαι ἠξίου ἢ ὥστε τὸν Ἀρσάκην ἐν ἡμέρᾳ μιᾷ
θεραπεῦσαι ᾗ βούλοιτο. τοῦτο τὸν βασιλέα ἠνίασε μὲν ἐς 33
τὰ μάλιστα, εἰ λύειν νόμον οὕτω δὴ παλαιὸν ἀναγκάζοιτο,
ὅπως μέντοι παντάπασιν ἀληθίζηται, ξυνεχώρει τὴν
δέησιν ἐπιτελῆ γενέσθαι. ἐπεὶ δὲ βασιλέως ἐπαγγείλαντος 34
γέγονεν ἐν τῷ τῆς Λήθης φρουρίῳ ἡσπάσατο μὲν τὸν
Ἀρσάκην, ἄμφω δὲ ἀλλήλοιν περιβαλόντε ἐθρηνησάτην
τε ἡδύν τινα θρῆνον καὶ ἀπολοφυραμένω τὴν παροῦσαν
τύχην μόλις ἀπ' ἀλλήλοιν διαλύειν τὰς αὐτοῦ χεῖρας
ἑκάτερος ἔσχεν. ἐπεὶ δὲ τῶν ὀδυρμῶν ἐς κόρον ἐλθόντες 35
ἐπαύσαντο, ἔλουσε μὲν ὁ Ἀρμένιος τὸν Ἀρσάκην καὶ
τἄλλα οὐκ ἀπημελημένως ἐκόσμησε, σχῆμα δὲ αὐτῷ περι-
θέμενος τὸ βασίλειον ἐπὶ στιβάδος ἀνέκλινεν. ἐνταῦθά τε 36
τοὺς παρόντας Ἀρσάκης βασιλικῶς εἱστία ἥπερ εἰώθει
τὰ πρότερα. ἐν ταύτῃ τῇ θοίνῃ πολλοὶ μὲν ἐπὶ κύλικι 37
λόγοι ἐλέχθησαν, οἵπερ τὸν Ἀρσάκην ἱκανῶς ἤρεσκον,
πολλὰ δὲ ἄλλα ἐς μέσον ἦλθεν, ἅπερ αὐτῷ ἐν ἡδονῇ ἦν·
μηκυνομένου τε τοῦ πότου ἄχρι ἐς νύκτα τῇ πρὸς ἀλλή-
λους ὁμιλίᾳ ὑπερφυῶς ἥσθησαν, μόλις δὲ ἀλλήλων ἀπαλ-
λαγέντες διελύθησαν, καταβεβρεγμένοι τῇ εὐπαθείᾳ. τότε 38
δὴ λέγουσι τὸν Ἀρσάκην ξίπεῖν ὡς ἡμέραν τὴν ἡδίστην
διατελέσας ἐν ταύτῃ τε ευγγενόμενος τῷ ποθεινοτάτῳ
ἀνθρώπων ἁπάντων, οὐκ ἂν ἔτι ἑκών γεξεῖναι ὑποσταίη
τὰ φλαῦρα τοῦ βίου, καὶ ταῦτα εἰπόντα μαχαίρᾳ ἑαυτὸν 39
διαχειρίσασθαι, ἥνπερ ἐν τῇ θοίνῃ ἐξεπίτηδες κεκλοφὼς
ἔτυχεν, οὕτω τε αὐτὸν ἐξ ἀνθρώπων ἀφανισθῆναι. τὰ μὲν 40
οὖν κατὰ τοῦτον δὴ τὸν Ἀρσάκην ἡ τῶν Ἀρμενίων συγ-
γραφὴ λέγει ταύτῃ, ἥπερ ἐρρήθη, κεχωρηκέναι, καὶ τὸν
νόμον τότε ἀμφὶ τῷ τῆς Λήθης φρουρίῳ λελύσθαι. ἐμοὶ
δὲ ὅθενπερ ἐξέβην ἰτέον.

Καθειρχθέντα δὲ τὸν Καβάδην ἐθεράπευεν ἡ γυνὴ **6**
ἐσιοῦσά τε παρ' αὐτὸν καὶ τὰ ἐπιτήδεια ἐσκομίζουσα·

die Bitte, daß er den Arsakes an einem einzigen Tage ganz nach Belieben bedienen dürfe. Zwar mißfiel dem König dieses Ersuchen aufs höchste, da er ein so altehrwürdiges Gesetz brechen solle, doch erfüllte er, um in allem Wort zu halten, den ihm vorgetragenen Wunsch. Als nun der Armenier mit Erlaubnis des Königs in das Gefängnis des Vergessens gekommen war, begrüßte er den Arsakes, und beide umarmten sich, stimmten einen süßen Klagegesang an und vermochten, als sie ihr augenblickliches Schicksal bejammert hatten, kaum mehr ihre Hände voneinander zu lösen. Nachdem sie genug geklagt, wusch der Armenier den Arsakes und machte ihn auch sonst mit aller Sorgfalt zurecht. Schließlich legte er ihm auch noch das königliche Gewand um die Schultern und bettete ihn auf ein Ruhelager. Nun bewirtete Arsakes die Anwesenden auf königliche Weise, so wie er es früher gewohnt war. Bei diesem Festmahl wurden zahlreiche Worte zum Becher gesprochen, die Arsakes hoch erfreuen mußten, es geschah aber auch vielerlei anderes zu seiner Erheiterung. Während das Symposion bis in die Nacht hinein dauerte, begeisterten sie sich über die Maßen an dem gegenseitigen Zusammensein und konnten, noch ganz erfüllt von dem Glücksgefühl, kaum voneinander lassen und Abschied nehmen. Damals erklärte, wie man sagt, Arsakes, er habe den angenehmsten Tag, dazu mit dem allerliebsten Menschen, verbracht und wolle von sich aus nicht mehr länger die Erbärmlichkeiten des Lebens ertragen. Und so machte er seinem Leben ein Ende, mit einem Messer, das er zu dem Zweck beim Mahle entwendet hatte, und schied auf diese Weise aus der Welt. Ein solches Schicksal nahm, wie gesagt, nach dem Bericht der armenischen Chronik dieser Arsakes, und das Gesetz über das Gefängnis des Vergessens wurde damals aufgehoben. Doch ich muß zu meinem Ausgangspunkt zurückkehren.

6. Kabades entkommt mit Hilfe seiner Frau, gewinnt die Herrschaft zurück und ernennt neue Großwürdenträger

Kabades aber wurde im Gefängnis von seiner Frau gepflegt, die zu ihm Zutritt hatte und ihm das Lebensnotwen-

ἦν δὴ ὁ τῆς εἱρκτῆς ἄρχων πειρᾶν ἤρξατο· ἦν γὰρ τὴν
ὄψιν ἐς τὰ μάλιστα εὐπρεπής. ὅπερ ἐπεὶ ὁ Καβάδης παρὰ 2
τῆς γυναικὸς ἔμαθεν, ἐκέλευσεν ἐνδιδόναι αὐτὴν τῷ ἀν-
θρώπῳ ὅ τι βούλοιτο χρῆσθαι. οὕτω δὴ τῇ γυναικὶ ἐς
εὐνὴν ξυνελθὼν ὁ τοῦ φρουρίου ἄρχων ἡράσθη τε αὐτῆς
ἔρωτα ἐξαίσιον οἷον. καὶ ἀπ' αὐτοῦ ξυνεχώρει παρὰ τὸν 3
ἄνδρα τὰς εἰσόδους ποιεῖσθαι, ὅπη ἂν αὐτῇ βουλομένῃ
εἴη, καὶ αὖθις ἐνθένδε ἀπαλλάσσεσθαι, οὐδενὸς ἐμποδὼν
ἱσταμένου.

Ἦν δέ τις τῶν ἐν Πέρσαις λογίμων Σεόσης ὄνομα,
Καβάδῃ ἐς τὰ μάλιστα φίλος, ὃς ἀμφὶ τὸ φρούριον τοῦτο 4
διατριβὴν εἶχε, καιροφυλακῶν εἴ πως αὐτὸν ἔνδοθεν
ἐξελέσθαι δυνήσεται. διά τε τῆς γυναικὸς τῷ Καβάδῃ 5
ἐσήμαινεν ὡς ἵπποι τέ οἱ καὶ ἄνδρες ἐν παρασκευῇ τυγ-
χάνουσιν ὄντες τοῦ φρουρίου οὐ μακρὰν ἄποθεν, δηλώσας
τι χωρίον αὐτῷ. καί ποτε νυκτὸς ἐπιλαβούσης ἀνέπεισε 6
τὴν γυναῖκα Καβάδης ἐσθῆτα μὲν αὐτῷ τὴν οἰκείαν δοῦ-
ναι, τὰ δὲ αὐτοῦ ἀμπεχομένην ἱμάτια ἐπὶ τῆς εἱρκτῆς ἀντ'
αὐτοῦ καθῆσθαι, οὗπερ ἐκεῖνος ἐκάθητο. οὕτω μὲν οὖν 7
Καβάδης ἀπηλλάσσετο ἐκ τοῦ δεσμωτηρίου. κατιδόντες
δὲ αὐτὸν οἷς ἡ φυλακὴ αὕτη ἐπέκειτο τὴν γυναῖκα ὑπετό-
παζον εἶναι· ταῦτά τοι οὔτε κωλύειν οὔτε ἄλλως αὐτὸν
ἐνοχλεῖν ἔγνωσαν. ἅμα τε ἡμέρᾳ τὴν γυναῖκα ἐς τὸ 8
δωμάτιον ἐν τοῖς τοῦ ἀνδρὸς ἱματίοις ἰδόντες καὶ μακρὰν
ἀπολελειμμένοι τοῦ ἀληθοῦς ᾤοντο Καβάδην ἐνταῦθα
εἶναι. ἥ τε δόκησις αὕτη ἐν ἡμέραις συχναῖς ἤκμαζεν,
ἕως Καβάδης πόρρω που τῆς ὁδοῦ ἐγεγόνει. τὰ μὲν οὖν 9
ἀμφὶ τῇ γυναικὶ ξυνενεχθέντα, ἐπεὶ ἐς φῶς ἡ ἐπιβουλὴ
ἦλθε, καὶ ὄντινα αὐτὴν τρόπον ἐκόλασαν, ἐς τὸ ἀκριβὲς
οὐκ ἔχω εἰπεῖν. οὐ γὰρ ὁμολογοῦσι Πέρσαι ἀλλήλοις· διὸ
δὴ αὐτὰ λέγειν ἀφίημι.

Καβάδης δὲ λαθὼν ἅπαντας ξὺν τῷ Σεόσῃ ἐς Οὔννους 10
τοὺς Ἐφθαλίτας ἀφίκετο καὶ αὐτῷ τὴν παῖδα γυναῖκα ὁ
βασιλεὺς γαμετὴν δίδωσιν, οὕτω τε στράτευμα λόγου

dige brachte. An sie begann sich ob ihrer ausnehmenden Schönheit der Gefängnisaufseher heranzumachen. Als dies Kabades von seiner Frau erfuhr, befahl er ihr, ihm ganz zu Willen zu sein, und so verkehrte dieser mit ihr und gewann sie besonders lieb. Seitdem erlaubte er der Frau, bei ihrem Manne nach Belieben aus- und einzugehen, ohne daß ihr jemand wehren durfte.

Nun war da ein persischer Adeliger namens Seoses, ein enger Freund des Kabades. Der trieb sich um dieses Gefängnis herum und wartete auf einen günstigen Augenblick, um seinen König irgendwie daraus zu entführen. Durch seine Frau ließ er Kabades mitteilen, daß Pferde und Mannen in der Nähe des Gefängnisses für ihn bereit stünden, und gab ihm auch einen bestimmten Ort an. Und einmal, bei Anbruch der Nacht, gebot Kabades seiner Frau, sie solle ihm ihr eigenes Gewand reichen, dafür seine Kleider anlegen und statt seiner den gewohnten Platz im Gefängnis einnehmen. So entkam Kabades aus der Haft. Die Wächter sahen ihn zwar, doch glaubten sie, seine Frau vor sich zu haben, und wollten ihm daher kein Hindernis oder sonstige Schwierigkeiten in den Weg legen. Bei Tagesbeginn fanden sie seine Frau im Gefängnisraum in den Kleidern ihres Mannes, und völlig getäuscht über den wahren Sachverhalt, meinten sie, Kabades sei da. Dieser Irrtum hielt sich viele Tage, bis der Flüchtling auf seinem Wege sich schon weit entfernt hatte. Was mit der Frau geschah, als der Betrug ans Licht kam, und wie man sie bestrafte, kann ich nicht genau sagen; denn die persischen Berichte widersprechen sich. Deshalb will ich auch nicht darauf eingehen.

Kabades gelangte indessen in Begleitung des Seoses unbemerkt zu den Ephthalitischen Hunnen, deren König ihm seine Tochter zur Frau gab. Außerdem stellte er ihm als Schwie-

πολλοῦ ἄξιον ἅτε κηδεστῇ ἐπὶ Πέρσας ξυνέπεμψε. τούτῳ 11
τῷ στρατῷ Πέρσαι ὑπαντιάζειν οὐδαμῇ ἤθελον, ἀλλὰ
ἄλλος ἄλλῃ ἐς φυγὴν ὥρμηντο. ἐπεὶ δὲ ὁ Καβάδης ἐν τῇ 12
χώρᾳ ἐγένετο, ἔνθα ὁ Γουσαναστάδης τὴν ἀρχὴν εἶχεν,
εἶπε τῶν ἐπιτηδείων τισὶν ὡς χαναράγγην καταστῆσεται
ἄνδρα ἐκεῖνον, ὃς ἂν αὐτῷ Περσῶν πρῶτος ἐκείνῃ τῇ ἡμέρᾳ
ἐς ὄψιν ἥκων ὑπουργεῖν βούλοιτο. εἰπόντι τέ οἱ μετέμελεν 13
ἤδη τοῦ λόγου, ἐπεὶ νόμος αὐτὸν ἐσῄει, ὃς δὴ οὐκ ἐᾷ Πέρ-
σαις ἐς τοὺς ἀλλοτρίους τὰς ἀρχὰς φέρεσθαι, ἀλλ' οἷς ἡ
τιμὴ ἑκάστη κατὰ γένος προσήκει. ἔδεισε γὰρ μή τις 14
ἵκοιτο ἐς αὐτὸν πρῶτος τῷ χαναράγγῃ οὐ ξυγγενὴς ὤν,
τόν τε νόμον ἀναγκάζηται λύειν, ὅπως αὐτὸς ἀληθίζηται.
ταῦτα δέ οἱ ἐν νῷ ἔχοντι ξυνέβη τις τύχη ὥστε μὴ τὸν 15
νόμον ἀτιμάζοντι ἀληθεῖ εἶναι. ἔτυχε γὰρ πρῶτος Ἀδεργου-
δουνβάδης ἐς αὐτὸν ἥκων, νεανίας ἀνήρ, ξυγγενής τε ὢν
τῷ Γουσαναστάδῃ καὶ διαφερόντως ἀγαθὸς τὰ πολέμια. ὃς 16
δὴ δεσπότην τε προσεῖπε Καβάδην καὶ βασιλέα προσεκύ-
νησε πρῶτος, ἐδεῖτό τέ οἱ ἅτε δούλῳ ὅ τι βούλοιτο χρῆσθαι.

Καβάδης οὖν ἐν τοῖς βασιλείοις οὐδενὶ πόνῳ γενόμενος, 17
ἔρημόν τε Βλάσην τῶν ἀμυνομένων λαβὼν ἐξετύφλωσε,
τρόπῳ δὴ ὅτῳ τυφλοὺς οἱ Πέρσαι ποιεῖν τοὺς κακούργους
εἰώθασιν, ἔλαιον ἕψοντες καὶ αὐτὸ ὡς μάλιστα ζέον ἐς
τοὺς ὀφθαλμοὺς οὔτι μύοντας ἐπιχέοντες, ἢ περόνην τινὰ
σιδηρᾶν πυρακτοῦντες ταύτῃ τε τῶν ὀφθαλμῶν τὰ ἐντὸς
χρίοντες, καὶ τὸ λοιπὸν ἐν φυλακῇ εἶχεν ἄρξαντα Περσῶν
ἐνιαυτοὺς δύο. καὶ τὸν μὲν Γουσαναστάδην κτείνας τὸν 18
Ἀδεργουδουνβάδην ἀντ' αὐτοῦ κατεστήσατο ἐπὶ τῆς τοῦ
χαναράγγου ἀρχῆς, τὸν δὲ Σεόσην ἀδρασταδάραν σαλάνην
εὐθὺς ἀνεῖπε. δύναται δὲ τοῦτο τὸν ἐπὶ ἀρχαῖς τε ὁμοῦ καὶ
στρατιώταις ἅπασιν ἐφεστῶτα. ταύτην ὁ Σεόσης τὴν
ἀρχὴν πρῶτός τε καὶ μόνος ἐν Πέρσαις ἔσχεν· οὔτε γὰρ

gersohn ein sehr beachtliches Heer gegen die Perser zur Verfügung. Diese wollten es mit der Streitmacht keineswegs aufnehmen, der eine hatte sich vielmehr dahin, der andere dorthin geflüchtet. Als nun Kabades in das Land kam, über das der Gusanastades gebot, erklärte er einigen seiner Vertrauten, er wolle denjenigen zum Chanaranges machen, der ihm als erster Perser an jenem Tage vor Augen trete und ihm helfen möchte. Doch kaum hatte er dies gesagt, da reuten ihn auch schon seine Worte; denn er dachte an das Gesetz, das die Perser keine Ämter an Fremde, sondern nur an solche Männer übertragen läßt, denen die betreffende Ehrenstellung ihrer Abkunft nach zukommt. Kabades aber mußte fürchten, als erster möchte ihm jemand begegnen, der nicht zur Sippe des Chanaranges gehöre, so daß er, um selbst seinem Worte treu zu bleiben, zum Bruch des Gesetzes genötigt werde. Während er dies bedachte, kam ihm ein Zufall zu Hilfe und erlaubte ihm, sein Wort zu halten und dabei doch nicht das Gesetz zu verletzen. Denn, wie es das Schicksal wollte, fand sich als erster Adergudunbades bei ihm ein, ein junger Mann und Verwandter des Gusanastades, außerdem ein trefflicher Soldat. Der begrüßte Kabades als seinen Herrn und erwies ihm zuerst als König fußfällige Verehrung; zugleich bat er den Herrscher, über ihn als seinen Sklaven nach Gutdünken zu verfügen.

Kabades drang nun ohne Widerstand in den königlichen Palast ein. Dort fand er Blases von allen seinen Helfern verlassen und ließ ihn blenden. Er bediente sich dabei des Verfahrens, das die Perser gewöhnlich gegen Verbrecher anwenden: Sie erhitzen entweder Öl und gießen es siedend in die geöffneten Augen oder sie machen einen Eisenstachel glühend und brennen damit das Augeninnere aus. Den Rest seines Lebens hielt Kabades den Blases gefangen, nachdem er zwei Jahre über die Perser regiert hatte. Er ließ auch den Gusanastades töten und übertrug an seiner Stelle dem Adergudunbades das Amt des Chanaranges, den Seoses aber machte er sogleich zum Adrastadaran Salanen. Dies bedeutet so viel wie „Herr zugleich über alle Ämter und Truppen". Seoses erhielt das Amt als erster und einziger Perser; denn weder vor-

πρότερον οὔτε ὕστερόν τινι γέγονε· τήν τε βασιλείαν ὁ Καβάδης ἐκρατύνατο καὶ ξὺν τῷ ἀσφαλεῖ διεφύλαξεν. ἦν γὰρ ἀγχίνους τε καὶ δραστήριος οὐδενὸς ἧσσον.

Ολίγῳ δὲ ὕστερον χρήματα Καβάδης τῷ 'Εφθαλιτῶν 7
βασιλεῖ ὤφειλεν, ἅπερ ἐπεὶ ἀποτιννύναι οἱ οὐχ οἷός τε
ἦν, 'Αναστάσιον τὸν 'Ρωμαίων αὐτοκράτορα ᾔτει ταῦτά
οἱ δανεῖσαι τὰ χρήματα· ὁ δὲ κοινολογησάμενος τῶν ἐπι-
τηδείων τισὶν ἐπυνθάνετο εἴ γέ οἱ ταῦτα ποιητέα εἴη. 2
οἵπερ αὐτὸν τὸ συμβόλαιον ποιεῖσθαι οὐκ εἴων. ἀξύμφορον
γὰρ ἀπέφαινον εἶναι βεβαιοτέραν τοῖς πολεμίοις χρήμασιν
οἰκείοις ἐς τοὺς 'Εφθαλίτας τὴν φιλίαν ποιήσασθαι, οὓς
δὴ ἐς ἀλλήλους ξυγκρούειν ὅτι μάλιστα σφίσιν ἄμεινον
εἶναι. διὸ δὴ Καβάδης ἐξ αἰτίας οὐδεμιᾶς ἔγνω ἐπὶ 'Ρω- 3
μαίος στρατεύεσθαι. καὶ πρῶτα μὲν αὐτάγγελος 'Αρμε-
νίων τῇ χώρᾳ ἐπῆλθε, καὶ αὐτῆς τὰ πολλὰ ἐξ ἐπιδρομῆς
λησάμενος ἐς Ἄμιδαν πόλιν ἐν Μεσοποταμίᾳ κειμένην
ἐκ τοῦ αἰφνιδίου ἀφίκετο, ἧς δὴ χειμῶνος ὥρᾳ ἐς πολιορ-
κίαν καθίστατο. 'Αμιδηνοὶ δὲ στρατιωτῶν μέν, ἅτε ἐν 4
εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν, οὐ παρόντων σφίσι, καὶ
ἄλλως δὲ ἀπαράσκευοι παντάπασιν ὄντες ὅμως τοῖς πολε-
μίοις ὡς ἥκιστα προσχωρεῖν ἤθελον, ἀλλὰ τοῖς τε κινδύ-
νοις καὶ τῇ ταλαιπωρίᾳ παρὰ δόξαν ἀντεῖχον.

Ἦν δέ τις ἐν Σύροις ἀνὴρ δίκαιος, 'Ιάκοβως ὄνομα, ᾧ 5
τὰ τὸ ἐς θεῖον ἐς τὸ ἀκριβὲς ἤσκητο. οὗτος ἐν χωρίῳ 'Εν-
διήλων, διέχοντι 'Αμίδης ἡμέρας ὁδῷ, πολλοῖς ἔμπροσθεν
χρόνοις αὐτὸν καθεῖρξεν, ὅπως δὴ ἀδεέστερον τὰ ἐς τὴν
εὐσέβειαν μελετᾶν δύνηται. καὶ αὐτοῦ οἱ ταύτῃ ἄνθρωποι 6
ὑπουργοῦντες τῇ γνώμῃ δρυφάκτοις τισὶ περιέβαλον, οὐ
ξυνημμένοις μέντοι, ἀλλὰ χωρὶς πεπηγόσιν ἀλλήλων, ὥστε

her noch später ist es irgend jemand verliehen worden. Sein Königtum aber nahm Kabades fest in die Hand und bewahrte es sicher. War ihm doch niemand an Klugheit und Tatkraft überlegen.

7. Zwischen Ostrom und Persien bricht (502) Krieg aus. Die Schicksale der von den Persern belagerten und eroberten Stadt Amida

Kurze Zeit darauf schuldete Kabades dem Ephthalitenkönig Geld. Da er nicht bezahlen konnte, bat er den römischen Kaiser Anastasios, ihm den Betrag zu leihen. Der beriet sich daraufhin mit einigen Vertrauten und befragte sie, ob er dem Wunsche entsprechen solle, fand sie aber der Gewährung eines Darlehens abgeneigt. Es sei, wie sie meinten, schädlich, wenn man mit eigenem Geld die Freundschaft der Feinde zu den Ephthaliten stärke. Beide möglichst miteinander zu verfeinden, bringe hingegen den Römern größeren Vorteil. Daher beschloß Kabades, ohne weitere Veranlassung den Krieg gegen sie zu eröffnen. Er überfiel zunächst Armenien, plünderte im Ansturm den Großteil des Landes und erschien plötzlich vor der mesopotamischen Stadt Amida, um während des Winters mit ihrer Belagerung zu beginnen. Obschon keine Soldaten in der Stadt lagen – man lebte ja in Frieden und geordneten Verhältnissen – und die Einwohner von Amida auch sonst völlig unvorbereitet waren, wollten sie sich doch keineswegs den Feinden ergeben, sondern hielten den Gefahren und der allgemeinen Bedrängnis wider Erwarten stand.

In Syrien aber lebte ein heiligmäßiger Mann namens Jakobos, der seine religiösen Pflichten gewissenhaft erfüllte. Dieser hatte sich an einem Ort Endielon, eine Tagereise weit von Amida entfernt, vor langen Zeiten einschließen lassen, damit er ungestörter seinen frommen Übungen nachgehen könne. Und die dortigen Einwohner unterstützten seine Absicht und umgaben seine Wohnstätte mit einem Holzzaun; dieser aber bestand nicht aus eng gereihten, sondern nur in

ὁρᾶν τε τοὺς προσιόντας καὶ ξυγγίνεσθαι οἷόν τε εἶναι. καὶ στέγος τι αὐτῷ ἐτεκτήναντο βραχὺ ὕπερθεν, ὅσον 7
ὄμβρους τε καὶ νιφετοὺς ἀποκρούεσθαι. ἐνταῦθα οὗτος ἀνὴρ ἐκ παλαιοῦ καθῆστο, πνίγει μὲν ἢ ψύχει ὡς ἥκιστα εἴκων, σπέρμασι δέ τισιν ἀποζῶν, οἷσπερ οὐ καθ' ἡμέραν, ἀλλὰ χρόνου πολλοῦ σιτίζεσθαι εἰώθει. τοῦτον οὖν τὸν 8
Ἰάκωβον τῶν τινες Ἐφθαλιτῶν καταθέοντες τὰ ἐκείνῃ χωρία εἶδον, καὶ τὰ τόξα σπουδῇ πολλῇ ἐντεινάμενοι βάλλειν ἤθελον. πᾶσι δὲ ἀκίνητοι αἱ χεῖρες γεγονυῖαι τὰ τόξα ἐνεργεῖν οὐδαμῇ εἶχον.

Ὅπερ ἐπεὶ ἐν τῷ στρατοπέδῳ περιφερόμενον ἐς Καβά- 9
δην ἦλθεν, αὐτόπτης γενέσθαι τοῦ ἔργου ὁ Καβάδης ἐβούλετο, ἰδών τε ἐν θάμβει μεγάλῳ ξὺν Περσῶν τοῖς παροῦσιν ἐγίνετο, καὶ τὸν Ἰάκωβον ἐλιπάρει ἀφεῖναι τοῖς βαρβάροις τὸ ἔγκλημα. ὁ δὲ ἀφῆκέ τε λόγῳ ἑνὶ καὶ τὰ δεινὰ τοῖς ἀνθρώποις ἐλέλυντο. Καβάδης μὲν οὖν αἰτεῖν τὸν 10
ἄνδρα ἐκέλευεν ὅ τι ἂν αὐτῷ βουλομένῳ εἴη, χρήματα οἰόμενος αὐτὸν μεγάλα αἰτήσειν, καί τι καὶ νεανιευσάμενος, ὡς οὐδενὸς πρὸς αὐτοῦ ἀτυχήσει. ὁ δέ οἱ τοὺς ἀνθρώ- 11
πους ἐδεῖτο χαρίζεσθαι ὅσοι ἐν τῷ πολέμῳ τούτῳ καταφεύγοντες παρ' αὐτὸν ἵκωνται. ταύτην Καβάδης τὴν δέησιν ἐπιτελῆ ἐποίει καὶ γράμματα ἐδίδου τῆς ἀσφαλείας ἐνέχυρα. πολλοὶ γοῦν πανταχόθεν ξυρρέοντες ἐνταῦθα ἐσώζοντο· περιβόητος γὰρ ἡ πρᾶξις ἐγένετο. ταῦτα μὲν ὧδέ πη ἔσχε.

Καβάδης δὲ Ἄμιδαν πολιρκῶν κριὸν τὴν μηχανὴν παν- 12
ταχόσε τοῦ περιβόλου προσέβαλε. καὶ Ἀμιδηνοὶ μὲν τὴν ἐμβολὴν ἀεὶ δοκοῖς τισιν ἐγκαρσίαις ἀνέστελλον, ὁ δὲ οὐκ ἀνῆκεν, ἕως ταύτῃ ἀνάλωτον εἶναι τὸ τεῖχος ἔγνω. πολλάκις γὰρ ἐμβαλὼν καθελεῖν τι τοῦ περιβόλου ἢ κατα- 13
σεῖσαι ἥκιστα ἴσχυσεν, οὕτως ἀσφαλῶς ἡ οἰκοδομία τοῖς

Abständen aneinander gefügten Pfählen, so daß er die Besucher sehen und mit ihnen verkehren konnte. Man brachte auch ein kleines Dach über seinem Haupte an, das gerade zur Abwehr der Regen- und Schneefälle genügte. Dort saß nun der Mann lange Jahre. Hitze und Kälte machten ihm nichts aus, und als Nahrung dienten ihm gewisse Samen, von denen er aber in der Regel nicht täglich, sondern nur in großen Zeitabständen aß. Diesen Jakobos sahen nun einige Ephthaliten, die das dortige Gebiet plündernd durchstreiften. Schnell spannten sie ihre Bogen und wollten auf ihn schießen, doch da erstarrten allen die Hände und sie konnten ihre Bogen nicht mehr bedienen.

Als sich die Kunde hievon im Heere verbreitete und auch zu Kabades gelangte, wollte er die Sache mit eigenen Augen sehen. Dabei erfaßte ihn und die anwesenden Perser großes Erstaunen, so daß er Jakobos mit freundlichen Worten bat, den Barbaren doch ihre Sünde zu erlassen. Der tat es dann auch mit einem einzigen Worte, und die Leute waren von ihren schlimmen Gebrechen befreit. Nun forderte Kabades den Mann auf, er solle sich ganz nach eigenem Wunsche etwas erbitten, und da er meinte, Jakobos wolle sicher viel Geld haben, so fügte er auch noch prahlerisch hinzu, daß er keine Fehlbitte tun werde. Indessen verlangte der Heilige nur das eine, man möge ihm all die Menschen überlassen, die im Laufe dieses Krieges als Flüchtlinge zu ihm kämen. Kabades erfüllte ihm dieses Ersuchen und übergab ihm auch noch die schriftliche Bestätigung des Asylrechtes. Daraufhin strömten zahlreiche Menschen von allen Seiten her an diesem Platze zusammen und fanden Sicherheit; denn die Sache hatte sich weit herumgesprochen. Solchen Verlauf nahm es also damit.

Kabades aber schritt zur Belagerung von Amida und ließ die Mauer überall durch Sturmböcke berennen. Indessen fingen die Einwohner den Aufprall stets durch schräggestellte Deckbalken ab, und auch der Perser ließ in seinem Bemühen nicht nach, bis er endlich einsehen mußte, daß auf diese Art die Mauer nicht zu bezwingen sei. Denn trotz wiederholter Stöße konnte er die Stadtmauer an keiner Stelle zum Ein-

δειμαμένοις τὸ παλαιὸν εἴργαστο. τούτου δὲ Καβάδης 14
ἀποτυχὼν λόφον τινὰ χειροποίητον ἐπιτείχισμα τῇ πόλει
ἐποίει μέτρῳ πολλῷ ὑπεραίροντα τοῦ τείχους τὸ μῆκος,
οἵ τε πολιορκούμενοι ἐντὸς τοῦ περιβόλου ἀρξάμενοι κατ-
ώρυχα μέχρι ἐς τὸν λόφον ἐποίουν, καὶ λάθρα ἐνθένθε
τὸν χοῦν ἐκφοροῦντες κενὰ ἐπὶ πλεῖστον τὰ ἐντὸς τοῦ
λόφου εἰργάσαντο. τὰ μέντοι ἐκτὸς ἐφ' οὗπερ ἐγεγόνει
σχήματος ἔμενεν, οὐδενὶ αἴσθησιν παρεχόμενα τοῦ πρασ-
σομένου. πολλοὶ μὲν οὖν Πέρσαι ὥσπερ ἐπ' ἀσφαλοῦς ἀνα- 15
βαίνοντες ἔν τε τῇ ἄκρᾳ ἐγένοντο καὶ βάλλειν ἐνθένδε
κατὰ κορυφὴν τοὺς ἐν τῷ περιβόλῳ διενοοῦντο. τοῦ δὲ
ὁμίλου δρόμῳ ἐπιρρέοντος ἐμπεσὼν ὁ λόφος ἐκ τοῦ αἰφνι-
δίου σχεδόν τι ἅπαντας ἔκτεινε.

Καβάδης δὲ τοῖς παροῦσιν ἀπορούμενος τὴν προσε- 16
δρείαν διαλύειν ἔγνω, καὶ τῷ στρατοπέδῳ ἀναχωρεῖν ἐς
τὴν ὑστεραίαν ἐπήγγειλε. τότε δὴ οἱ πολιορκούμενοι, ἅτε 17
τοῦ κινδύνου ἀφροντιστήσαντες, πολλὰ τοὺς βαρβάρους
ξὺν γέλωτι ἀπὸ τοῦ περιβόλου ἐτώθαζον. καί τινες ἑταῖ- 18
ραι ἀνελκύσασαι κόσμῳ οὐδενὶ τὴν ἐσθῆτα Καβάδῃ ἄγχι-
στά που ἑστηκότι ἐδείκνυον ὅσα τῶν γυναικῶν γυμνὰ
φανῆναι ἀνδράσιν οὐ θέμις. ὅπερ κατιδόντες οἱ μάγοι τῷ 19
τε βασιλεῖ ἐς ὄψιν ἦλθον καὶ τὴν ἀναχώρησιν ἐκώλυον,
ξυμβαλεῖν ἰσχυριζόμενοι τῷ γεγονότι ὡς ἅπαντα Καβάδῃ
Ἀμιδηνοὶ τά τε ἀπόρρητα καὶ κρυπτόμενα οὐκ ἐς μακρὰν
δείξουσιν. οὕτω μὲν τὸ Περσῶν στρατόπεδον αὐτοῦ ἔμει-
νεν. ἡμέραις δὲ τῶν τις Περσῶν οὐ πολλαῖς ὕστερον 20
ἄγχιστα τῶν πύργων τινὸς ἐκβολὴν ὑπονόμου παλαιοῦ
εἶδεν οὐ ξὺν τῷ ἀσφαλεῖ κεκαλυμμένην, ἀλλὰ χάλιξι
σμικραῖς τε καὶ οὐ λίαν συχναῖς. νύκτωρ τε μόνος ἐνταῦθα 21
ἦκων καὶ τῆς εἰσόδου ἀποπειρασάμενος ἐντὸς τοῦ περι-
βόλου ἐγένετο. ἅμα δὲ ἡμέρᾳ τὸν πάντα λόγον Καβάδῃ
ἀπήγγειλε. καὶ ὃς τῇ ἐπιγινομένῃ νυκτὶ κλίμακας ἐν
παρασκευῇ ποιησάμενος ξὺν ὀλίγοις τισὶν ἐνταῦθα ἦλθε.
καί τις αὐτῷ δεξιὰ ξυνηνέχθη τύχη τρόπῳ τοιῷδε. τὸν πύρ- 22

sturz bringen oder auch nur erschüttern, so fest hatten die alten Meister gebaut. Nach diesem Mißerfolg ließ Kabades zum Angriff auf die Stadt einen Hügel weit über Mauerhöhe aufschütten. Doch die Belagerten trieben von der Innenseite der Befestigung her bis unter den Hügel einen Stollen vor, schafften heimlich die Erde von dort weg und höhlten weithin das Innere der Aufschüttung aus. Nach außen hin aber blieb die alte Form erhalten und ließ niemand ahnen, was hier vor sich ging. Viele Perser, in der Meinung, es sei fester Boden, stiegen nun hinauf, stellten sich an den höchsten Punkt und wollten von dort auf die Verteidiger der Mauer herabschießen. Während aber die Masse eilends herbeistürmte, brach plötzlich der Hügel ein, und fast alle fanden dabei den Tod.

Angesichts der Schwierigkeiten beschloß Kabades, die Belagerung aufzuheben, und gab dem Heere Abmarschbefehl für den folgenden Tag. Die Belagerten aber taten damals, ohne an die Gefahr zu denken, von der Mauer aus den Barbaren viel Spott und Hohn an. Einige Hetären hoben sogar in schamloser Weise ihr Gewand und zeigten dem ganz in der Nähe stehenden Kabades, was Männer an Frauen nackt nicht sehen dürfen. Als dies die Magier sahen, traten sie vor den König und widerrieten ihm abzurücken, indem sie auf Grund des Vorfalles, wie sie sagten, den Schluß zogen, die Einwohner Amidas müßten dem Kabades in Bälde ihre intimsten Geheimnisse aufdecken. Und so blieb das Perserheer vor der Stadt liegen. Wenige Tage danach bemerkte ein Perser unmittelbar neben einem Befestigungsturm die Mündung eines alten unterirdischen Ganges, die nicht mit der nötigen Sorgfalt, sondern nur mit ein paar kleinen Steinen abgedeckt war. Er begab sich daher nachts allein an die Stelle, versuchte den Zugang und gelangte tatsächlich auf die Innenseite des Mauerringes. Mit Tagesanbruch erstattete er Kabades von allem Bericht. Der ließ in der folgenden Nacht Leitern bereit halten und verfügte sich selbst mit einigen Begleitern an Ort und Stelle. Auch ein günstiger Zufall kam ihm zu Hilfe und zwar auf folgende Weise: Den Turm dicht neben dem unterirdi-

γον, ὃς δὴ τοῦ ὑπονόμου ἀγχοτάτω ἐτύγχανεν ὤν, φυλάσσειν τῶν Χριστιανῶν οἱ σωφρονέστατοι ἔλαχον, οὕσπερ καλεῖν μοναχοὺς νενομίκασι. τούτους ἑορτήν τινα τῷ Θεῷ ἄγειν ἐνιαύσιον ἐκείνῃ τῇ ἡμέρᾳ τετύχηκεν. ἐπεί τε ἡ νὺξ 23
ἐπεγένετο, ἅπαντες, ἅτε κόπῳ μὲν πολλῷ διὰ τὴν πανήγυριν ὁμιλήσαντες, μᾶλλον δὲ τοῦ εἰθισμένου σιτίων τε καὶ ποτοῦ ἐς κόρον ἐλθόντες ὕπνον τινὰ ἡδύν τε καὶ πρᾷον ἐκάθευδον καὶ ἀπ' αὐτοῦ ὡς ἥκιστα τῶν ποιουμένων ἠσθάνοντο. Πέρσαι γοῦν διὰ τοῦ ὑπονόμου ἐντὸς τοῦ 24
περιβόλου κατ' ὀλίγους γενόμενοι ἐς τὸν πύργον ἀνέβαινον, καὶ τοὺς μοναχοὺς καθεύδοντας ἔτι εὑρόντες ἔκτειναν ἅπαντας. ὅπερ ἐπεὶ Καβάδης ἔγνω, τὰς κλίμακας τῷ τείχει 25
τούτου δὴ ἄγχιστα τοῦ πύργου προσῆγεν. ἡμέρα δὲ ἦν 26
ἤδη. καὶ τῶν Ἀμιδηνῶν οἱ ἐν πύργῳ τῷ ἐχομένῳ ἐφύλασσον, αἰσθόμενοι τοῦ κακοῦ κατὰ τάχος ἐβοήθουν ἐνταῦθα. ὠθισμῷ τε πολλῷ ἐπὶ πλεῖστον ἀμφότεροι ἐς ἀλλή- 27
λους ἐχρῶντο καὶ τὸ πλέον ἤδη Ἀμιδηνοὶ ἔχοντες τῶν τε ἀναβεβηκότων πολλοὺς ἔκτεινον καὶ τοὺς ἀπὸ τῶν κλιμάκων ἀνέστελλον καὶ τοῦ ἁπεῶσθαι τὸν κίνδυνον οὐ μακράν που ἐγένοντο. ἀλλὰ Καβάδης αὐτὸς τὸν ἀκινάκην 28
σπασάμενος καὶ αὐτῷ ἀεὶ δεδισσόμενος ἐς τὰς κλίμακας ὁρμῶν οὐκ ἀνίει τοὺς Πέρσας, θάνατός τε ἦν ἡ ζημία τοῖς ἐνθένδε ἀναστρέφειν τολμῶσι. διὸ δὴ πλήθει πολλῷ 29
οἱ Πέρσαι καθυπέρτεροι τῶν ἐναντίων γενόμενοι ἐνίκησάν τε αὐτοὺς τῇ μάχῃ καὶ κατὰ κράτος ἡ πόλις ἥλω ὀγδοηκοστῇ ἀπὸ τῆς πολιορκίας ἡμέρᾳ.

Φόνος τε Ἀμιδηνῶν πολὺς ἐγεγόνει, ἕως ἐσελαύνοντι 30
ἐς τὴν πόλιν Καβάδῃ τῶν τις Ἀμιδηνῶν γέρων τε καὶ ἱερεὺς προσελθὼν εἶπεν ὡς οὐ βασιλικὸν τὸ φονεύειν τοὺς ἡλωκότας εἴη. Καβάδης μὲν οὖν θυμῷ ἔτι ἐχόμενος 31
ἀπεκρίνατο „διὰ τί γάρ μοι πολεμεῖν ἔγνωτε"; ὁ δὲ ὑπολαβὼν αὐτίκα ἔφη „ὅτι δὴ ὁ θεὸς οὐχ ἡμετέρᾳ γνώμῃ, ἀλλὰ ἀρετῇ παραδιδόναι σοι Ἄμιδαν ἤθελε". τούτῳ τῷ 32
λόγῳ Καβάδης ἡσθεὶς κτείνειν οὐδένα τὸ λοιπὸν εἴασεν,

schen Gang hatten die ehrbarsten unter den Christen, die man Mönche zu nennen pflegt, zur Bewachung erhalten. Diese feierten zufällig an jenem Tage Gott zu Ehren ein Jahresfest. Als nun die Nacht herankam, lagen alle sehr müde von der Feier und der ungewöhnlich reichen Sättigung an Speise und Trank in süßem, tiefem Schlummer und merkten daher nichts von dem, was geschah. Die Perser jedenfalls gelangten in kleinen Gruppen durch den unterirdischen Gang in die Stadt, erstiegen den Turm, fanden die Mönche noch schlafend und machten sie alle nieder. Sobald Kabades davon Nachricht hatte, ließ er die Leitern dicht neben dem erwähnten Turm an die Mauer legen. Inzwischen war es aber auch schon Tag geworden. Da merkten die Amider, die auf dem nächsten Turme Wache hielten, die Gefahr und kamen eilends zu Hilfe herbei. Angreifer und Verteidiger prallten in wildestem Getümmel aufeinander. Schon hatten die Einwohner von Amida die Oberhand, töteten zahlreiche Eindringlinge und stießen die anderen von den Leitern und waren nahe daran, die Gefahr zu bannen, als Kabades sein Kurzschwert zog, unablässig damit drohend auf die Leitern zu stürzte und die Perser nicht zurückweichen ließ. Todesstrafe erwartete den, der umzukehren wagte. So überwanden die Perser dank ihrer gewaltigen Menge schließlich die Gegner, kämpften sie nieder und erstürmten die Stadt am achtzigsten Tage seit Beginn der Belagerung.

Und es begann ein großes Morden unter den Einwohnern, bis dem Kabades beim Eintritt in die Stadt ein alter Priseter aus Amida entgegentrat und erklärte, Besiegte zu töten sei unköniglich. Noch zornerfüllt erwiderte ihm der Herrscher: „Warum wolltet ihr denn mit mir Krieg führen?" Doch der Alte besann sich nicht lange und hielt ihm entgegen: „Gott geruhte eben, Amida nicht durch unseren Wllen, sondern durch deine Tapferkeit dir anheimzugeben." Kabades fand an diesem Wort Gefallen und gebot dem Morden Einhalt. Die

ἀλλὰ τά τε χρήματα ληίζεσθαι Πέρσας ἐκέλευε καὶ τοὺς περιόντας ἐν ἀνδραπόδων ποιεῖσθαι λόγῳ, καὶ αὐτῷ ἐξελέσθαι ἅπαντας αὐτῶν τοὺς δοκίμους ἐπέστελλεν. ὀλίγῳ δὲ ὕστερον χιλίους ἐπὶ τῇ φυλακῇ ἐνταῦθα λιπὼν 33
ἄρχοντά τε αὐτοῖς ἐπιστήσας Γλώνην, ἄνδρα Πέρσην, καὶ τῶν Ἀμιδηνῶν ἀνθρώπους τινὰς ὀλίγους οἰκτρούς, οἳ δὴ ἐς τὴν δίαιταν ὑπηρετήσειν Πέρσαις ἔμελλον, αὐτὸς παντὶ τῷ ἄλλῳ στρατῷ τοὺς ἡλωκότας ἔχων ἐπ' οἴκου ἀπήλαυνεν. ἐς τούτους δὲ τοὺς αἰχμαλώτους φιλανθρωπίᾳ 34
ἐχρήσατο βασιλεῖ πρεπούσῃ· χρόνου γὰρ ὀλίγου εἰς τὰ οἰκεῖα ξύμπαντας ἀφῆκεν ἰέναι, τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτόν, ὅ τε Ῥωμαίων βασιλεὺς Ἀναστάσιος ἔργα ἐς 35
αὐτοὺς ἐπεδείξατο ἀρετῆς ἄξια· φόρους τε γὰρ τοὺς ἐπετείους ἐς ἔτη ἑπτὰ ξύμπαντας ἀφῆκε τῇ πόλει καὶ αὐτοὺς κοινῇ τε καὶ ἰδίᾳ ἕκαστον πολλοῖς τισιν ἀγαθοῖς ἐδωρήσατο, ὥστε αὐτοῖς λήθην τῶν ξυμβεβηκότων πολλὴν γενέσθαι. ἀλλὰ ταῦτα μὲν χρόνῳ τῷ ὑστέρῳ ἐγένετο.

Τότε δὲ βασιλεὺς Ἀναστάσιος πολιορκεῖσθαι μαθὼν 8
Ἄμιδαν στράτευμα κατὰ τάχος διαρκὲς ἔπεμψεν. ἄρχοντες δὲ ἦσαν μὲν κατὰ συμμορίαν ἑκάστων, στρατηγοὶ δὲ ἅπασιν ἐφεστήκεσαν τέσσαρες, Ἀρεόβινδός τε, Ὀλυβρίου κηδεστής, τοῦ ἐν τῇ ἑσπερίᾳ βεβασιλευκότος ὀλίγῳ πρότερον, τῆς ἑῴας δὲ τότε στρατηγὸς ἐτύγχανεν ὤν· καὶ 2
τῶν ἐν παλατίῳ ταγμάτων ἀρχηγὸς Κέλερ (μάγιστρον Ῥωμαῖοι τὴν ἀρχὴν καλεῖν νενομίκασιν)· ἔτι μὴν καὶ οἱ τῶν ἐν Βυζαντίῳ στρατιωτῶν ἄρχοντες, Πατρίκιός τε ὁ Φρὺξ καὶ Ὑπάτιος ὁ βασιλέως ἀδελφιδοῦς· οὗτοι μὲν τέσσαρες στρατηγοὶ ἦσαν. ξυνῆν δὲ αὐτοῖς καὶ Ἰουστῖνος, 3
ὃς δὴ ὕστερον Ἀναστασίου τελευτήσαντος ἐβασίλευσε, καὶ Πατρικιόλος ξὺν Βιταλιανῷ τῷ παιδί, ὃς ὅπλα ἀντάρας Ἀναστασίῳ βασιλεῖ οὐ πολλῷ ὕστερον ἐτυράννησε, καὶ Φαρεσμάνης Κόλχος μὲν γένος, διαφερόντως δὲ ἀγα-

Perser sollten nur noch plündern und die restlichen Einwohner zu Sklaven machen, im übrigen aber alle Vornehmen unter ihnen für den König auswählen. Kurz darauf ließ Kabades eintausend Mann als Besatzung in Amida zurück, dazu den Perser Glones als Befehlshaber sowie einige bedauernswerte Bewohner, die für den Lebensunterhalt den Persern zu Diensten sein sollten. Er selbst kehrte mit dem gesamten übrigen Heer und den Gefangenen nach Hause zurück. Diesen Kriegsgefangenen gegenüber legte er eine Menschenfreundlichkeit an den Tag, wie sie eines Königs würdig ist: Binnen kurzem entließ er sie nämlich alle in ihre Heimat, und es war nur Schein, daß sie ihm entliefen. Ebenso ließ ihnen der römische Kaiser Anastasios großherzige Wohltaten zuteil werden: Er befreite die Stadt auf sieben Jahre von sämtlichen laufenden Abgaben und erwies den Einwohnern im ganzen wie auch jedem einzelnen vielerlei Gnaden, so daß sie ihr Unglück weitgehend vergaßen. Doch das spielte erst in der späteren Zeit.

8. Uneinigkeit und Niederlage der römischen Feldherrn

Als Kaiser Anastasios von der Belagerung Amidas vernahm, schickte er rasch ein entsprechendes Heer zu Hilfe. Jede einzelne Abteilung hatte ihren Führer, zu Oberbefehlshabern über das Ganze waren aber vier Feldherrn bestellt: Areobindos, der Schwiegersohn des Olybrios, der kurz zuvor die Kaiserwürde im Westen bekleidet hatte, damals magister militum per orientem; ferner der Kommandeur der Palasttruppen Keler (magister officiorum nennen die Römer gewöhnlich dieses Amt); schließlich die beiden magistri militum in Byzanz, der Phryger Partikios und der Neffe des Kaisers, Hypatios. Diese vier hatten den Oberbefehl. Ihnen war auch Justinos beigegeben, der später nach dem Tode des Anastasios Kaiser wurde, dazu Patrikiolos mit seinem Sohne Vitalianos, der nicht lange danach sich gegen Kaiser Anastasios erhob und zum Gegenkaiser aufschwang. Ferner waren dabei Pharesmanes, ein gebürtiger Kolcher, ein außerordentlich tüchtiger Soldat, sowie die Goten Godidisklos und Bessas, zwei sehr

θὸς τὰ πολέμια, καὶ Γοδίδισκλός τε καὶ Βέσσας, Γότθοι
ἄνδρες, Γότθων τῶν οὐκ ἐπισπομένων Θευδερίχῳ ἐς
Ἰταλίαν ἐκ Θράκης ἰόντι, γενναίω τε ὑπερφυῶς ἄμφω
καὶ τῶν κατὰ τὸν πόλεμον πραγμάτων ἐμπείρω, ἄλλοι τε
πολλοὶ καὶ ἄριστοι εἵποντο. στράτευμα γὰρ τοιοῦτό 4
φασιν οὔτε πρότερον οὔτε ὕστερον ἐπὶ Πέρσας Ῥωμαίοις
ξυστῆναι. οὗτοι μέντοι ἅπαντες οὐκ ἐς ταὐτὸ ἀγηγερμένοι
οὐδὲ στράτευμα ἓν ποιησάμενοι ἦσαν, ἀλλ' αὐτὸς ἕκαστος
τοῖς κατ' αὐτὸν στρατιώταις ἐξηγεῖτο ἐπὶ τοὺς πολεμίους.
χορηγὸς δὲ τῆς τοῦ στρατοπέδου δαπάνης Ἀπίων Αἰγύπ- 5
τιος ἐστάλη, ἀνὴρ ἐν πατρικίοις ἐπιφανής τε καὶ δραστή-
ριος ἐς τὰ μάλιστα, καὶ αὐτὸν βασιλεὺς κοινωνὸν τῆς
βασιλείας ἐν γράμμασιν ἀνεῖπεν, ὅπως οἱ ἐξουσία εἴη τὰ
ἐς τὴν δαπάνην ᾗ βούλοιτο διοικήσασθαι.

Ὁ μὲν οὖν στρατὸς οὗτος χρόνῳ τε ξυνελέγοντο καὶ 6
σχολαίτεροι ἐπορεύοντο. διὸ δὴ τοὺς βαρβάρους ἐν γῇ τῇ
Ῥωμαίων οὐχ εὗρον, ἐπεὶ ἐξ ἐπιδρομῆς οἱ Πέρσαι τὴν
ἔφοδον ποιησάμενοι αὐτίκα δὴ ἐς τὰ πάτρια ἤθη ἀνεχώ-
ρησαν ξὺν πάσῃ τῇ λείᾳ. τῶν δὲ στρατηγῶν οὐδεὶς ἐς 7
πολιορκίαν τῶν ἐν Ἀμίδῃ ἀπολελειμμένων ἐν τῷ παρόντι
καθίστασθαι ἤθελε· πολλὰ γὰρ ἐσκομίσασθαι σφᾶς τὰ
ἐπιτήδεια ἔμαθον· ἀλλ' ἐς τῶν πολεμίων τὴν χώραν ἐσβο-
λὴν ποιήσασθαι ἐν σπουδῇ εἶχον. οὐ μὴν ἐπὶ τοὺς βαρ- 8
βάρους κοινῇ ἦσαν, ἀλλὰ χωρὶς ἀλλήλων στρατοπεδευό-
μενοι ἐπορεύοντο. ταῦτα Καβάδης μαθὼν (ἄγχιστα γάρ
που ἐτύγχανεν ὤν) ἐς τὰ Ῥωμαίων ὅρια κατὰ τάχος
ἐλθὼν ὑπηντίαζεν. οὕπω μέντοι Ῥωμαῖοι τῷ παντὶ 9
στρατῷ Καβάδην ἰέναι ἐπ' αὐτοὺς ἔμαθον, ἀλλὰ Περσῶν
ᾤοντο στράτευμα βραχύ τι ἐνταῦθα εἶναι. οἱ μὲν οὖν ἀμφὶ 1
Ἀρεόβινδον ἐστρατοπεδεύσαντο ἐν χωρίῳ Ἀρζάμων,
ἀπέχοντι Κωνσταντίνης πόλεως δυοῖν ἡμέραιν ὁδόν, οἱ
δὲ ἀμφὶ Πατρίκιον καὶ Ὑπάτιον ἐν χωρίῳ Σίφριος, ὅπερ
Ἀμίδης πόλεως οὐχ ἧσσον ἢ πεντήκοντα καὶ τριακοσίους
σταδίους ἀπέχει. Κέλερ γὰρ οὔπω ἐνταῦθα ἀφῖκτο.

wackere und kriegserfahrene Männer, die zu jenen Goten zählten, die sich Theodorich bei seinem Abmarsch aus Thrakien nach Italien nicht angeschlossen hatten. Schließlich befanden sich noch viele andere ausgezeichnete Männer im Gefolge. Denn weder vorher noch nachher soll ein solch glänzendes Heer von den Römern gegen die Perser aufgeboten worden sein. Die ganze Streitmacht hatte sich jedoch nicht an ein und derselben Stelle gesammelt und zog auch nicht als geschlossene Einheit ins Feld, vielmehr führte jeder einzelne Befehlshaber seine Soldaten gegen die Feinde. Zur Versorgung der Truppen wurde der Ägypter Apion entsandt, ein vornehmer Patrikier und überaus tatkräftiger Mann, den der Kaiser in einem Schreiben sogar zu seinem Mitregenten bestellte, damit er seine Aufgabe ganz nach freiem Ermessen erledigen könne.

Das Heer sammelte sich zögernd und rückte dann auch ziemlich langsam vor. So traf es die Barbaren nicht mehr auf römischem Boden; denn die Perser hatten überraschend angegriffen und waren sogleich wieder mit der gesamten Beute in ihr Land zurückgekehrt. An die Belagerung der in Amida zurückgelassenen Besatzung aber wagte sich im Augenblick kein Feldherr – es war ja bekannt geworden, daß sie große Mengen Proviant in die Stadt geschafft hatte –, man plante vielmehr einen Einfall ins Feindesland. Doch rückten die Feldherrn nicht gemeinsam gegen die Barbaren, sondern getrennt voneinander und mit eigenen Lagern. Sowie Kabades, der sich irgendwo ganz in der Nähe aufhielt, davon Nachricht bekam, drang er eilends in römische Grenzgebiet ein und stellte sich den Römern entgegen. Diese hatten indessen noch keine Kunde, daß Kabades mit seiner gesamten Streitmacht heranrücke, sondern meinten, es handle sich dort um eine kleine persische Abteilung. Nun hatte Areobindos mit seinen Leuten an einem Ort namens Arzamon, zwei Tagemärsche von der Stadt Konstantine, Lager bezogen, während Patrikios, Hypatios und ihre Truppen bei dem Platze Siphrios standen, der mindestens 350 Stadien von Amida entfernt liegt. Keler war dort noch nicht eingetroffen. Sobald Areobin-

'Αρεόβινδος δὲ ἐπειδὴ Καβάδην παντὶ τῷ στρατῷ ἐπιέναι 11
σφίσιν ἐπύθετο, ἀπολιπὼν τὸ στρατόπεδον ξὺν τοῖς ἑπο-
μένοις ἅπασιν ἐς φυγὴν ὥρμητο καὶ ἐς Κωνσταντίναν
δρόμῳ ἐχώρει. ἐπελθόντες δὲ ὀλίγῳ ὕστερον οἱ πολέ- 12
μιοι ἔρημον ἀνδρῶν αὐτοῖς χρήμασι τὸ στρατόπεδον
εἷλον. ἔνθεν τε κατὰ τάχος ἐπὶ 'Ρωμαίων τὸ ἄλλο στρά-
τευμα ἦεσαν. οἱ δὲ ἀμφὶ Πατρίκιον καὶ 'Υπάτιον 'Εφθα- 13
λίταις ἐντυχόντες ὀκτακοσίοις, οἳ τοῦ Περσῶν στρατοῦ
ἔμπροσθεν ἦεσαν, σχεδόν τι ἅπαντας ἔκτειναν. οὐδὲν δὲ 14
ἀμφὶ τῷ Καβάδῃ καὶ τῇ Περσῶν στρατιᾷ πεπυσμένοι,
ἅτε νενικηκότες, ἀδεέστερον τῇ διαίτῃ ἐχρῶντο. τὰ γοῦν
ὅπλα καταθέμενοι ἄριστον σφίσιν ἡτοίμαζον. ἤδη γὰρ τῆς
ἡμέρας ὁ καιρὸς ἐνταῦθα ἦγε. ῥύαξ δέ τις ἔρρει ἐν τούτῳ 15
τῷ χώρῳ, ἵνα 'Ρωμαῖοι τὰ κρέα καθαίρειν ἤρξαντο, οἷς
δὴ σιτίζεσθαι ἔμελλον. τινὲς δὲ ἀχθόμενοι τῷ πνίγει καὶ 16
λοῦσθαι ἠξίουν. ταύτῃ τε ταραχθὲν τὸ τοῦ ῥύακος ὕδωρ
πρόσω ἐχώρει. Καβάδης δὲ τὰ ἐς τοὺς 'Εφθαλίτας ξυμ-
πεσόντα μαθὼν ἐπὶ τοὺς πολεμίους κατὰ τάχος ἦει. κατι- 17
δών τε συγκεχυμένον τὸ τοῦ ῥύακος ὕδωρ καὶ ξυμβαλὼν
τὸ ποιούμενον ἔγνω ἀπαρασκεύους τοὺς ἐναντίους εἶναι,
καὶ κατὰ κράτος ἤδη ἐπ' αὐτοὺς ἐλαύνειν ἐκέλευεν. αὐτίκα
τε αὐτοῖς ἐστιωμένοις τε καὶ ἀνόπλοις οὖσιν ἐπέστησαν.

'Ρωμαῖοι δὲ οὐκ ἐνεγκόντες τὴν ἔφοδον ἐς ἀλκὴν μὲν 18
τὸ παράπαν οὐκ ἔβλεπον, ἔφευγον δὲ ὡς ἕκαστός πη ἐδύ-
νατο, καὶ αὐτῶν οἱ μὲν καταλαμβανόμενοι ἔθνησκον, οἱ
δὲ ἀνιόντες εἰς τὸ ὄρος, ὃ ταύτῃ ἀνέχει, ἐρρίπτουν αὑτοὺς
κατὰ τὸ κρημνῶδες ξὺν φόβῳ καὶ θορύβῳ πολλῷ. ὅθεν δὴ 19
οὐδένα σεσῶσθαί φασι, Πατρίκιος δὲ καὶ 'Υπάτιος κατ'
ἀρχὰς τῆς ἐφόδου διαφυγεῖν ἴσχυσαν. ἔπειτα δὲ Καβάδης,
Οὔννων πολεμίων ἐς γῆν τὴν αὐτοῦ ἐσβεβληκότων, παντὶ
τῷ στρατῷ ἐπ' οἴκου ἀνεχώρησε, πόλεμόν τε μακρὸν
πρὸς τὸ ἔθνος τοῦτο ἐς τῆς χώρας τὰ πρὸς ἄρκτον
διέφερεν. ἐν τούτῳ δὲ καὶ τὸ ἄλλο στράτευμα 'Ρωμαίων 20

dos vom Anmarsch des Kabades und seines gesamten Heeres hörte, räumte er das Lager, machte sich mit all seinen Leuten auf die Flucht und erreichte in Eile Konstantine. Kurz darauf trafen die Feinde in Arzamon ein; sie fanden das Lager verlassen und nahmen es samt den Schätzen in Besitz. Dann wandten sie sich von dort rasch gegen das andere römische Heer. Patrikios und Hypatios aber stießen mit ihren Leuten auf achthundert Ephthaliten, die dem Perserheer vorauszogen, und machten fast alle nieder. Dabei hatten sie von Kabades und seinen Truppen nichts gemerkt und ließen nun als Sieger in ihrem Verhalten nicht mehr die nötige Vorsicht walten. Jedenfalls legten sie Waffen ab und wollten, da es schon die Tageszeit forderte, ihr Frühstück bereiten. Nun strömte an dieser Stelle ein Bach, in dem die Römer das Fleisch für das geplante Mahl zu säubern begannen. Einige hielten es wegen der Hitze sogar für nötig zu baden. Dadurch wurde aber das Wasser des Baches aufgerührt, so daß es nun verschmutzt weiter floß. Kabades aber hatte inzwischen von dem Schicksal der Ephthaliten erfahren und rückte schnell gegen die Feinde heran. Wie er nun das Wasser des Baches aufgerührt sah, schloß er daraus, was vorging, und kam zur Erkenntnis, daß die Feinde unvorbereitet seien. So befahl er nunmehr den Angriff unter Einsatz aller Kräfte, und alsbald stießen die Perser auf die Gegner, die gerade ihr Mahl einnahmen und zu diesem Zwecke die Waffen abgelegt hatten.

Die Römer waren dem Ansturm nicht gewachsen; ohne auch nur im mindesten an Widerstand zu denken, flohen sie alle, wie sich jedem gerade Gelegenheit bot. Die einen wurden dabei eingeholt und niedergemacht, während die anderen den Berg, der sich dort erhebt, hinaufrannten und voll Furcht und Schrecken sich über die Felshänge zu Tode stürzten. Infolgedessen soll kein einziger Römer mit dem Leben davongekommen sein, nur Patrikios und Hypatios konnten sich gleich zu Beginn des Angriffs in Sicherheit bringen. Kabades zog hierauf, da Hunnen als Feinde in sein Land eingefallen waren, mit dem ganzen Heer nach Hause und führte gegen dieses Volk in den nördlichen Teilen seines Reiches einen langwierigen Krieg. Inzwischen war auch das andere römische

ἦλθε, λόγου μέντοι ἄξιον οὐδὲν ἔδρασαν, ὅτι δὴ αὐτοχράτωρ τοῦ πολέμου κατέστη οὐδείς, ἀλλ' ἴσοι πρὸς ἀλλήλους οἱ στρατηγοὶ ὄντες ἀντεστάτουν τε ἀλλήλων ταῖς γνώμαις καὶ γίνεσθαι ἐν τῷ αὐτῷ οὐδαμῇ ἤθελον. Κέλερ 21
δὲ ξὺν τοῖς ἑπομένοις Νύμφιον ποταμὸν διαβὰς ἐσβολήν τινα ἐς τὴν Ἀρζανηνὴν ἐποιήσατο. ἔστι δὲ ὁ ποταμὸς 22
οὗτος Μαρτυροπόλεως μὲν ἀγχοτάτω, Ἀμίδης δὲ ὅσον ἀπὸ σταδίων τριακοσίων. οἱ δὴ λησάμενοι τὰ ἐκείνῃ χωρία ἐπανῆλθον οὐ πολλῷ ὕστερον. δι' ὀλίγου τε ἡ ἐπιδρομὴ αὕτη ἐγένετο.

Μετὰ δὲ Ἀρεόβινδος μὲν ἐς Βυζάντιον ὡς βασιλέα 9
μετάπεμπτος ἦλθεν, οἱ δὲ λοιποὶ ἐς Ἄμιδαν ἀφικόμενοι χειμῶνος ὥρᾳ ἐς πολιορκίαν καθίσταντο. καὶ βίᾳ μὲν ἑλεῖν τὸ χωρίον, καίπερ πολλὰ ἐγκεχειρηκότες, οὐκ ἴσχυσαν, λιμῷ δὲ τοῦτο ποιεῖν ἔμελλον· πάντα γὰρ τοὺς πο- 2
λιορκουμένους τὰ ἐπιτήδεια ἐπιλελοίπει. ἀλλ' οἱ στρατηγοὶ οὐδὲν πεπυσμένοι ἀμφὶ τῶν πολεμίων τῇ ἀπορίᾳ, ἐπειδὴ τοὺς στρατιώτας τῇ προσεδρείᾳ καὶ τῷ χειμῶνι ἀχθομένους ἑώρων, ἅμα δὲ καὶ Περῶν στράτευμα ἐπὶ σφᾶς ἥξειν οὐκ εἰς μακρὰν ὑπετόπαζον, τρόπῳ ὅτῳ δὴ 3
ἐνθένδε ἀπαλλάσσεσθαι ἐν σπουδῇ εἶχον. οἵ τε Πέρσαι, οὐκ ἔχοντες τίνες ἂν ἐν τοῖσδε τοῖς δεινοῖς γένοιντο, τὴν μὲν ἀπορίαν τῶν ἀναγκαίων ἐς τὸ ἀκριβὲς ἔκρυπτον, δόκησιν παρέχοντες ὡς πάντων σφίσι τῶν ἐπιτηδείων ἀφθονία εἴη, ἐς δὲ τὰ οἰκεῖα ξὺν τῷ εὐπρεπεῖ λόγῳ ἀναχωρεῖν ἤθελον. γίνονται οὖν ἐν ἀμφοτέροις λόγοι, ἐφ' ᾧ δὴ Πέρ- 4
σαι λίτρας χρυσίου χιλίας λαβόντες ἀποδώσουσι Ῥωμαίοις τὴν πόλιν. ἑκάτεροί τε ἄσμενοι τὰ ξυγκείμενα ἐπιτελῇ ἐποίουν, τά τε χρήματα λαβὼν ὁ τοῦ Γλώνου υἱὸς

Heer eingetroffen, konnte jedoch nichts Nennenswertes ausrichten; denn es gab keinen Oberbefehlshaber in diesem Krieg, vielmehr standen sich alle Führer im Range gleich, bekämpften daher gegenseitig ihre Pläne und wollten nicht zusammengehen. Nur Keler überschritt mit seinen Leuten den Nymphios und machte einen Einfall nach Arzanene. Dieser Fluß ist ganz in der Nähe von Martyropolis, von Amida aber ungefähr dreihundert Stadien entfernt. Nachdem die Römer die dortigen Ortschaften geplündert hatten, kehrten sie bald darauf um, so daß dieser Angriff nur kurz dauerte.

9. Nach Rückgewinnung von Amida schließen die Römer einen siebenjährigen Waffenstillstand (506)

Hierauf wurde Areobindos zum Kaiser nach Byzanz befohlen, während die übrigen Feldherrn vor Amida eintrafen und zur Winterszeit mit der Belagerung begannen. Da aber die gewaltsame Einnahme trotz vieler Versuche nicht gelang, wollten sie ihr Ziel durch Aushungern erreichen; waren doch den Belagerten sämtliche Lebensmittel ausgegangen. Die Feldherrn wußten indessen nichts von der Not der Feinde. Sie sahen nur, wie ihre Soldaten unter den Strapazen der Belagerung und den Unbillen der Witterung litten, und vermuteten zugleich auch das baldige Heranrücken eines Perserheeres, weshalb sie sich ernstlich Gedanken machten, wie sie von dort abziehen könnten. Die Perser ihrerseits im unklaren, was wohl mit ihnen in dieser Bedrängnis geschehen werde, vermieden sorgfältig jede Andeutung des Lebensmittelmangels und taten so, als ob sie an allem Nötigen Überfluß hätten. Dabei war es ihr Wunsch, auf anständige Art freien Abzug in die Heimat zu erreichen. So kam es denn zu gegenseitigen Verhandlungen, und man einigte sich dahin, daß die Perser für tausend Pfund Gold die Stadt den Römern überlassen sollten. Gerne erfüllten beide Parteien die vertraglichen Verpflichtungen: Der Sohn des Glones nahm das Geld in Empfang und lieferte dafür die Stadt aus. Glones selbst hatte näm-

Ἄμιδαν Ῥωμαίοις παρέδωκε. Γλώνης γὰρ ἤδη ἐτετελευτήκει τρόπῳ τοιῷδε.

Οὔπω μὲν στρατοπεδευσαμένων ἐνταῦθα Ῥωμαίων, 5
Ἀμίδης δὲ πόλεως ὄντων οὐ μακρὰν ἄποθεν, τῶν τις ἀγροίκων, ὅσπερ εἰώθει ἐς τὴν πόλιν ἐσιὼν λάθρα ὄρνις τε καὶ ἄρτους καὶ τῶν ὡραίων πολλὰ τῷ Γλώνῃ τούτῳ ἀποδίδοσθαι χρημάτων μεγάλων, Πατρικίῳ τῷ στρατηγῷ ἐς ὄψιν ἐλθὼν Γλώνην οἱ ἐς χεῖρας παραδώσειν ξὺν Πέρσαις διακοσίοις ὑπέσχετο, ἣν τινος ἀμοιβῆς ἐλπίδα λαβὼν παρ' αὐτοῦ εἴη. ὁ δὲ αὐτῷ ἅπαντα ὅσα ἦν βουλομένῳ 6
ὑποσχόμενος ἔσεσθαι τὸν ἄνθρωπον ἀπεπέμψατο. καὶ ὃς τά τε ἱμάτια δεινῶς διαρρήξας καὶ δεδακρυμένῳ ἐοικὼς ἐς τὴν πόλιν εἰσῆλθε. παρά τε τὸν Γλώνην ἥκων τάς τε 7
τρίχας τίλλων, „Ἐτύγχανον μέν, ὦ δέσποτα," εἶπεν „ἅπαντά σοι ἐκ τοῦ χωρίου τἀγαθὰ φέρων, ἐντυχόντες δὲ στρατιῶται Ῥωμαῖοι (καὶ γάρ που ἐς τὰ ταύτῃ χωρία κατ' ὀλίγους περιιόντες τοὺς οἰκτροὺς ἀγροίκους βιάζονται) πληγάς τέ μοι οὐ φορητὰς προσετρίψαντο καὶ πάντα ἀφελόμενοι οἱ λῃσταὶ ᾤχοντο, οἷς δὴ ἐκ παλαιοῦ Πέρσας τε δεδιέναι καὶ τοὺς γεωργοὺς βιάζεσθαι νόμος. ἀλλ' 8
ὅπως, ὦ δέσποτα, σαυτῷ τε καὶ ἡμῖν καὶ Πέρσαις ἀμύνῃς. ἢν γὰρ ἐς τῆς πόλεως τὰ προάστεια κυνηγετήσων ἴῃς, θήραμά σοι οὐ φαῦλον ἔσται. κατὰ πέντε γὰρ ἢ τέτταρας οἱ κατάρατοι περιιόντες λωποδυτοῦσιν." ὁ μὲν 9
ταῦτα εἶπεν. ἀναπεισθεὶς δὲ ὁ Γλώνης τοῦ ἀνθρώπου ἀνεπυνθάνετο πόσους ποτὲ Πέρσας οἴεται οἱ ἐς τὴν πρᾶξιν ἱκανοὺς ἔσεσθαι. ὁ δὲ πεντήκοντα μὲν ἀποχρήσειν 10
οἱ μάλιστα ἔφη οὐ γὰρ ἂν αὐτῶν πλείοσί ποτε ἢ κατὰ πέντε ὁδῷ ἰοῦσιν ἐντύχοιεν, τοῦ δὲ μηδὲν ἀπροσδόκητον σφίσι ξυμβῆναι οὐδέν τι χεῖρον καὶ ἑκατὸν ἐς τὸ ἔργον ἐπαγαγέσθαι· ἢν δὲ καὶ τούτων διπλασίους, τῷ παντὶ ἄμεινον. βλάβος γὰρ ἀνθρώπῳ ἐκ τοῦ περιόντος οὐκ ἂν γένοιτο.

Γλώνης μὲν οὖν ἱππέας διακοσίους ἀπολεξάμενος τὸν 11

lich schon den Tod gefunden, und zwar geschah dies auf folgende Weise:

Als die Römer ihr Lager dort noch nicht aufgeschlagen hatten, aber nicht mehr fern von Amida standen, kam ein Bauer, der gewöhnlich die Stadt aufsuchte und dem erwähnten Glones heimlich für teueres Geld Geflügel, Brot und viele Früchte verkaufte, zum Feldherrn Patrikios und machte sich anheischig, Glones mit zweihundert Persern ihm in die Hand zu liefern, wenn er von ihm dafür entsprechenden Lohn erwarten dürfe. Patrikios sicherte dem Manne die Erfüllung jedes Wunsches zu und entließ ihn hierauf. Mit arg zerrissenen Kleidern und tränenüberströmt kam dieser nun in die Stadt, trat vor Glones hin und sprach, indem er sich die Haare raufte: Herr, ich wollte dir eben bringen, was mein Dorf an Gütern bietet, da begegneten mir römische Soldaten, die in kleinen Gruppen die dortigen Ortschaften durchstreifen und den armen Bauern Gewalt antun. Diese versetzten mir fürchterliche Schläge, nahmen mir alles ab und machten sich damit aus dem Staube, diese Räuber, deren Art es ist, vor den Persern zu zittern, wehrlose Landleute aber zu mißhandeln. Schau nun, Herr, daß du dir und uns und den Persern hilfst! Wenn du nämlich in die Gegend vor Amida auf Jagd ziehst, wird keine geringe Beute deiner warten; nur zu fünft oder zu viert streifen dort die verfluchten Kerle umher und plündern." Soweit seine Worte. Glones schenkte dem Manne Glauben und fragte ihn noch, wie viele Perser seiner Ansicht nach denn für das Unternehmen genügen würden. Fünfzig Mann, erklärte der Bauer, würden völlig ausreichen, da sie ja niemals größere Feindstreifen als solche von fünf Mann anträfen. Doch damit ihnen nichts Unerwartetes widerfahre, sei es nicht von der Hand zu weisen, sogar hundert Mann für das Unternehmen aufzubieten. Nähme man aber nochmals soviel, dann sei dies in jedem Falle besser; denn Überfluß könne niemandem schaden.

Daraufhin wählte Glones zweihundert Reiter aus und be-